and how king among them Italus in time arose
ἀφ’ οὗ μετωνομάσθησαν Ἰταλοί, τούτου δὲ τὴν ἀρχὴν
from whom they-were-renamed Italians of-him and the rule
Μόργης διεδέξατο, ἀφ’ οὗ Μόργητες ἐκλήθησαν, καὶ ὡς
Morges succeeded from whom Morgetes were-called and how
Σικελὸς ἐπιξενωθεὶς Μόργητι ἰδίαν πράττων ἀρχὴν
Sicelus having-been-received-as-guest by-Morges own creating rule
διέστησε τὸ ἔθνος, ἐπιφέρει ταυτί· “οὕτω δὲ Σικελοὶ καὶ
split the nation he-adds this so and Sicels and
Μόργητες ἐγένοντο καὶ Ἰταλίητες ἐόντες Οἴνωτροι”.
Morgetes arose and Italians being Oenotrians
φέρε δὴ καὶ τὸ γένος ὅθεν ἦν τὸ τῶν Οἰνώτρων 13.1
come indeed also the race whence was the of-the Oenotrians
ἀποδείξωμεν, ἕτερον ἄνδρα τῶν ἀρχαίων συγγραφέων
let-us-show another man of-the ancient historians

παρασχόμενοι μάρτυρα, Φερεκύδην τὸν Ἀθηναῖον,
having-offered as-witness Pherecydes the Athenian
γενεαλόγων οὐδενὸς δεύτερον. πεποίηται γὰρ αὐτῷ περὶ
of-genealogists to-none second is-composed for by-him about
τῶν ἐν Ἀρκαδίᾳ βασιλευσάντων ὅδε ὁ λόγος· "Πελασγοῦ
those in Arcadia having-reigned this the account of-Pelasgus
καὶ Δηιανείρης γίνεται Λυκάων· οὗτος γαμεῖ Κυλλήνην,
and of-Deianira is-born Lycaon he marries Cyllene
Νηίδα νύμφην, ἀφ' ἧς τὸ ὄρος ἡ Κυλλήνη καλεῖται".
a-Naiad nymph from whom the mountain the Cyllene is-called
ἔπειτα τοὺς ἐκ τούτων γεννηθέντας διεξιὼν καὶ
then those from these born going-through and
τίνας ἕκαστοι τόπους ᾤκησαν, Οἰνώτρου καὶ Πευκετίου
what each places inhabited Oenotrus and Peucetius
μιμνήσκεται λέγων ὧδε· "καὶ Οἴνωτρος, ἀφ' οὗ Οἰνωτροι
he-mentions saying thus and Oenotrus from whom Oenotrians
καλέονται οἱ ἐν Ἰταλίῃ οἰκέοντες, καὶ Πευκέτιος, ἀφ'
are-called those in Italy dwelling and Peucetius from
οὗ Πευκέτιοι καλέονται οἱ ἐν τῷ Ἰονίῳ κόλπῳ".
whom Peucetians are-called those in the Ionian gulf
13.2 τὰ μὲν οὖν ὑπὸ τῶν παλαιῶν εἰρημένα ποιητῶν
the-things indeed then by the ancient said poets
τε καὶ μυθογράφων περί τε οἰκήσεως καὶ γένους τῶν
both and mythographers about both habitation and race of-the
Οἰνώτρων τοιαῦτά ἐστιν· οἷς ἐγὼ πειθόμενος, εἰ τῷ ὄντι
Oenotrians such are whom I trusting if in reality
Ἑλληνικὸν φῦλον ἦν τὸ τῶν Ἀβοριγίνων, ὡς Κάτωνι
Greek tribe was the of-the Aborigines as by-Cato
καὶ Σεμπρωνίῳ καὶ πολλοῖς ἄλλοις εἴρηται, τούτων
and Sempronius and many others has-been-said of-these
ἔγγονον αὐτῶν τῶν Οἰνώτρων ὑποτίθεμαι. τὸ γὰρ δὴ
descendant very the Oenotrians I-suppose the for indeed

Πελασγικὸν καὶ τὸ Κρητικὸν καὶ ὅσα ἄλλα ἐν Ἰταλίᾳ
Pelasgian and the Cretan and as-many-as other in Italy
ᾠκησεν, ὑστέροις εὑρίσκω χρόνοις ἀφικόμενα. παλαιότερον
dwelt in-later I-find times having-come earlier
δὲ τούτου στόλον ἀπαναστάντα τῆς Ἑλλάδος εἰς τὰ
and than-this expedition having-departed — from-Greece to the
προσεσπέρια τῆς Εὐρώπης οὐδένα δύναμαι καταμαθεῖν.
western-parts — of-Europe none I-can learn
τοὺς δὲ Οἰνώτρους τῆς τ᾽ ἄλλης Ἰταλίας πολλὰ χωρία 13.3
the and Oenotrians of-the both other Italy many places
οἶομαι κατασχεῖν, τὰ μὲν ἔρημα, τὰ δὲ φαύλως
I-think to-have-occupied some indeed deserted others and poorly
οἰκούμενα καταλαβόντας, καὶ δὴ καὶ τῆς Ὀμβρικῶν γῆς
inhabited having-seized and indeed also of-the of-Umbrians land
ἐστιν ἣν ἀποτεμέσθαι, κληθῆναι δὲ Ἀβοριγῖνας ἐπὶ τῆς
there-is which to-have-cut-off to-have-been-called and Aborigines from the
ἐν τοῖς ὄρεσιν οἰκήσεως (Ἀρκαδικὸν γὰρ τὸ φιλοχωρεῖν
in the mountains habitation Arcadian for the to-love-dwelling
ἐν ὄρεσιν), ὡς ὑπερακρίους τινὰς καὶ παραλίους Ἀθήνησιν.
in mountains as hyperakrioi some and paralioi at-Athens
εἰ δέ τινες πεφύκασι μὴ ταχεῖς εἶναι περὶ πραγμάτων 13.4
if but some are-by-nature not quick to-be about affairs
παλαιῶν ἀβασανίστως τὰ λεγόμενα δέχεσθαι, μὴ
ancient without-scrutiny the-things said to-accept not
ταχεῖς ἔστωσαν μηδὲ Λίγυας ἢ Ὀμβρικοὺς ἢ ἄλλους
quick let-them-be nor Ligurians or Umbrians or other
τινὰς βαρβάρους αὐτοὺς νομίσαι, περιμείναντες δὲ καὶ τὰ
any barbarians them to-consider having-waited and also the
λοιπὰ μαθεῖν κρινέτωσαν ἐξ ἁπάντων τὸ πιθανώτατον.
rest to-learn let-them-judge from all the most-credible

14.1 τῶν δὲ πόλεων, ἐν αἷς τὸ πρῶτον ᾤκησαν Ἀβοριγῖνες,
of-the and cities in which the first dwelt Aborigines
ὀλίγαι περιῆσαν ἐπ᾽ ἐμοῦ· αἱ δὲ πλεῖσται ὑπό τε πολέμων
few survived in my-time the but most by both wars
καὶ ἄλλων κακῶν οἰκοφθορηθεῖσαι ἔρημοι ἀφεῖνται. ἦσαν
and other evils ruined deserted have-been-left they-were
δ᾽ ἐν τῇ Ῥεατίνῃ γῇ τῶν Ἀπεννίνων ὀρῶν οὐ μακρὰν,
and in the Reatine land of-the Apennine mountains not far
ὡς Οὐάρρων Τερέντιος ἐν ἀρχαιολογίαις γράφει, ἀπὸ τῆς
as Varro Terentius in antiquities writes from the
Ῥωμαίων πόλεως αἱ τὸ βραχύτατον ἀπέχουσαι ἡμερήσιον
of-Romans city those the shortest distant by-a-day's
διάστημα ὁδοῦ· ὧν ἐγὼ τὰς ἐπιφανεστάτας, ὡς ἐκεῖνος
distance of-road of-which I the most-famous as he
ἱστορεῖ, διηγήσομαι.
records will-relate

14.2 Παλάτιον μὲν πέντε πρὸς τοῖς εἴκοσι σταδίοις ἀφεστῶσα
Palatium indeed five beyond the twenty stades distant
Ῥεάτου, πόλεως οἰκουμένης ὑπὸ Ῥωμαίων ἔτι καὶ εἰς
from-Reate a-city inhabited by Romans still even to
ἐμὲ, Κοϊντίας ὁδοῦ πλησίον. Τριβόλα δὲ ἀμφὶ τοὺς
me of-Quintia road near Tribula and about the
ἑξήκοντα σταδίους τῆς αὐτῆς πόλεως ἀφεστῶσα, λόφον
sixty stades from-the same city distant a-hill
ἐπικαθημένη σύμμετρον. Συεσβόλα δὲ τὸ αὐτὸ διάστημα
occupying moderate Suesbula and the same distance
τῆς Τριβόλας ἀπέχουσα, τῶν Κεραυνίων ὀρῶν πλησίον.
from-the Tribula distant the Ceraunian mountains near
ἀπὸ δὲ ταύτης τετταράκοντα σταδίοις διῃρημένη πόλις
from and this by-forty stades separated a-city
ἐπιφανὴς Σούνα, ἔνθα νεὼς πάνυ ἀρχαῖός ἐστιν Ἄρεος.
famous Suna where a-temple very ancient is of-Mars

Μήφυλα δὲ ὡς τριάκοντα σταδίους ἄπωθεν τῆς 14.3
Mephyla and about thirty stades away —
Σούνης· δείκνυται δὲ αὐτῆς ἐρείπιά τε καὶ τείχους ἴχνη.
from-Suna is-shown and its ruins both and of-wall traces
τετταράκοντα δὲ σταδίους ἀπέχουσα Μηφύλης Ὀρουΐνιον,
forty and stades distant from-Mephyla Orvinium
εἰ καί τις ἄλλη τῶν αὐτόθι πόλεων ἐπιφανὴς καὶ μεγάλη·
if indeed any other of-the there cities famous and great
δῆλοι γάρ εἰσιν αὐτῆς οἵ τε θεμέλιοι τῶν τειχῶν καὶ
visible for are its the both foundations of-the walls and
τάφοι τινὲς ἀρχαιοπρεπεῖς καὶ πολυανδρίων ἐν ὑψηλοῖς
tombs some antique and of-common-burial-places in high
χώμασι μηκυνομένων περίβολοι· ἔνθα καὶ νεὼς Ἀθηνᾶς
mounds extended enclosures where also a-temple of-Athena
ἐστιν ἀρχαῖος, ἱδρυμένος ἐπὶ τῆς ἄκρας.
is ancient founded on the summit
ἀπὸ δὲ σταδίων ὀγδοήκοντα Ῥεάτου τοῖς ἰοῦσι διὰ τῆς 14.4
from and stades eighty from-Reate for-those going by the
Κουρίας ὁδοῦ παρὰ Κόρητον ὄρος Κόρσουλα νεωστὶ
Curian road beside Coretus mountain Corsula lately
διεφθαρμένη. δείκνυται δέ τις καὶ νῆσος, Ἴσσα αὐτῇ
destroyed is-shown and some also island Issa its
ὄνομα, λίμνῃ περίῤῥυτος, ἣν χωρὶς ἐρύματος ποιητοῦ
name by-a-lake surrounded which without fortification made
κατοικῆσαι λέγονται τοῖς τέλμασι τῆς λίμνης ὁπόσα
to-have-inhabited they-are-said with-the marshes of-the lake just-as
τείχεσι χρώμενοι. πλησίον δὲ τῆς Ἴσσης Μαρούιον ἐπὶ τῷ
with-walls using near and — Issa Marruvium in the
μυχῷ τῆς αὐτῆς λίμνης κειμένη, τετταράκοντα σταδίους
recess of-the same lake lying forty stades
ἀπέχουσα τῶν καλουμένων Ἑπτὰ ὑδάτων.
distant from-the called Seven waters

14.5 ἀπὸ δὲ Ῥεάτου πάλιν τὴν ἐπὶ Λατίνην ὁδὸν ἰοῦσι
from and Reate again the toward Latin road for-those-going
Βατία μὲν ἀπὸ τριάκοντα σταδίων, Τιώρα δὲ ἀπὸ
Batia indeed from thirty stades Tiora and from
τριακοσίων, ἡ καλουμένη Ματιήνη. ἐν ταύτῃ λέγεται
three-hundred the called Matiene in this is-said
χρηστήριον Ἄρεος γενέσθαι πάνυ ἀρχαῖον. ὁ δὲ τρόπος
an-oracle of-Mars to-have-been very ancient the and manner
αὐτοῦ παραπλήσιος ἦν ὥς φασι τῷ παρὰ Δωδωναίοις
its similar was as they-say to-the among Dodonaeans
μυθολογουμένῳ ποτὲ γενέσθαι· πλὴν ὅσον ἐκεῖ μὲν ἐπὶ
told-in-myth once to-have-been except so-far-as there indeed on
δρυὸς ἱερᾶς πέλεια καθεζομένη θεσπιῳδεῖν ἐλέγετο, παρὰ
an-oak sacred a-dove sitting to-prophesy was-said among
δὲ τοῖς Ἀβοριγῖσι θεόπεμπτος ὄρνις, ὃν αὐτοὶ μὲν
and the Aborigines god-sent a-bird which they indeed
πῖκον, Ἕλληνες δὲ δρυοκολάπτην καλοῦσιν, ἐπὶ κίονος
picus Greeks and woodpecker call on a-pillar
ξυλίνου φαινόμενος τὸ αὐτὸ ἔδρα.
wooden appearing the same did

14.6 τέτταρας δ' ἐπὶ τοῖς εἴκοσι σταδίοις ἀπέχουσα τῆς
four and beyond the twenty stades distant from-the
εἰρημένης πόλεως Λίστα, μητρόπολις Ἀβοριγίνων, ἣν
mentioned city Lista mother-city of-Aborigines which
παλαίτερον ἔτι Σαβῖνοι νύκτωρ ἐπιστρατεύσαντες ἐκ
earlier still Sabines by-night having-marched-against from
πόλεως Ἀμιτέρνης ἀφύλακτον αἱροῦσιν· οἱ δ' ἐκ τῆς
city Amiternum unguarded capture those and from the
ἁλώσεως περισωθέντες ὑποδεξαμένων αὐτοὺς Ῥεατίνων,
capture having-escaped having-received them Reatines
ὡς πολλὰ πειραθέντες οὐχ οἷοί τε ἦσαν ἀπολαβεῖν,
when many-things having-tried not able — were to-recover

ἱερὰν ἀνῆκαν ὡς σφετέραν ἔτι τὴν γῆν, ἐξαγίστους
sacred they-dedicated as their-own still the land accursed
ποιήσαντες ἀραῖς τοὺς καρπωσομένους αὐτὴν ὕστερον.
having-made with-curses those going-to-enjoy-its-fruits it afterward
ἀπὸ δὲ σταδίων ἑβδομήκοντα Ῥεάτου Κοτυλία πόλις 15.1
from and stades seventy from-Reate Cotylia a-city
ἐπιφανὴς πρὸς ὄρει κειμένη· ἧς ἐστιν οὐ πρόσω
famous by a-mountain lying of-which is not far
λίμνη τεττάρων πλέθρων ἔχουσα τὴν διάστασιν, αὐθιγενοῦς
a-lake of-four plethra having the diameter of-native
πλήρης νάματος ἀπορρέοντος ἀεί, βάθος ὡς λέγεται
full water flowing always in-depth as is-said
ἄβυσσος. ταύτην ἔχουσάν τι θεοπρεπὲς ἱερὰν τῆς Νίκης
bottomless this having something divine sacred — of-Victory
οἱ ἐπιχώριοι νομίζουσι καὶ περιείρξαντες κύκλῳ στέμμασι
the natives consider and having-enclosed-it in-a-circle with-fillets
τοῦ μηδένα τῷ νάματι πελάζειν ἄβατον φυλάττουσιν,
that no-one the water approach untrodden they-keep
ὅτι μὴ καιροῖς τισι διετησίοις, ἐν οἷς ἱερὰ θύουσιν ἃ
except only at-times some yearly in which sacrifices they-offer which
νόμος ἐπιβαίνοντες τῆς ἐν αὐτῇ νησῖδος οἷς ὅσιον.
custom-is going-on the in it islet those-for-whom permitted
ἡ δὲ νῆσός ἐστι μὲν ὡσπερὰν πεντήκοντα ποδῶν τὴν 15.2
the and island is indeed about fifty feet the
διάμετρον, ὑπερανέστηκε δὲ τοῦ νάματος οὐ πλεῖον
diameter rises and above-the water not more
ἢ ποδιαῖον ὕψος· ἀνίδρυτος δ' ἐστὶ καὶ περινήχεται
than a-foot's height unfixed and it-is and floats-about
πολλαχῇ δινοῦντος αὐτὴν ἄλλοτε κατ' ἄλλους τόπους
in-many-directions whirling it at-one-time to other places
ἠρέμα τοῦ πνεύματος. χλόη δέ τις ἐν αὐτῇ φύεται
gently the wind grass and some on it grows

βουτόμῳ προσεμφερὴς καὶ θάμνοι τινὲς οὐ μεγάλοι,
to-flowering-rush resembling and shrubs some not large
πρᾶγμα κρεῖττον λόγου τοῖς ἀθεάτοις ὧν ἡ φύσις
a-thing beyond word to-those not-having-seen of-which the nature
δρᾷ καὶ θαυμάτων οὐδενὸς δεύτερον.
acts and of-marvels to-none second

16.1 τὴν μὲν δὴ πρώτην οἴκησιν οἱ Ἀβοριγῖνες ἐν τούτοις
the indeed indeed first habitation the Aborigines in these
λέγονται ποιήσασθαι τοῖς τόποις, ἐξελάσαντες ἐξ αὐτῶν
are-said to-have-made the places having-driven-out from them
Ὀμβρικούς. ἐντεῦθεν δὲ ὁρμώμενοι τοῖς τε ἄλλοις
Umbrians from-there and setting-out against-the both other
βαρβάροις καὶ πάντων μάλιστα Σικελοῖς ὁμοτέρμοσιν
barbarians and of-all most Sicels neighboring
οὖσιν ὑπὲρ τῆς χώρας ἐπολέμουν, τὸ μὲν πρῶτον
being for the country they-warred the indeed first
ἱερά τις ἐξελθοῦσα νεότης, ἄνδρες ὀλίγοι κατὰ βίου
sacred some having-gone-out youth men few for of-livelihood
ζήτησιν ὑπὸ τῶν γειναμένων ἀποσταλέντες, ἔθος
search by those having-begotten-them sent-out a-custom
ἐκπληροῦντες ἀρχαῖον, ᾧ πολλοὺς βαρβάρων τε καὶ
fulfilling ancient which many of-barbarians both and
Ἑλλήνων ἐπίσταμαι χρησαμένους.
of-Greeks I-know having-used

16.2 ὁπότε γὰρ εἰς ὄχλου πλῆθος ἐπίδοσιν αἱ πόλεις τισὶ
whenever for into of-crowd number increase the cities for-some
λάβοιεν ὥστε μηκέτι τὰς οἰκείας τροφὰς ἅπασιν εἶναι
should-take so-that no-longer the own food for-all to-be
διαρκεῖς, ἢ κακωθεῖσα ταῖς οὐρανίοις μεταβολαῖς ἡ γῆ
sufficient or damaged by-the heavenly changes the earth
σπανίους τοὺς εἰωθότας καρποὺς ἐξενέγκειεν, ἢ τοιόνδε
scant the usual crops should-bear or such

τι πάθος ἄλλο τὰς πόλεις κατασχὸν εἴτε ἄμεινον
any affliction other the cities having-seized whether better
εἴτε χεῖρον ἀνάγκην ἐπιστήσειε μειώσεως τοῦ πλήθους,
or worse necessity should-impose of-reduction of-the number
θεῶν ὅτῳ δὴ καθιεροῦντες ἀνθρώπων ἐτείους γονὰς
to-gods whatever indeed dedicating of-men yearly offspring
ἐξέπεμπον ὅπλοις κοσμήσαντες ἐκ τῆς σφετέρας· εἰ μὲν
they-sent-out with-arms having-equipped-them from the their-own if indeed
ὑπὲρ εὐανδρίας ἢ νίκης ἐκ πολέμου χαριστήρια θεοῖς
for abundance-of-men or victory from war thank-offerings to-gods
ἀποδιδοῖεν, προθύοντες ἱερὰ τὰ νομιζόμενα, εὐφήμοις
they-were-rendering offering-first rites the customary with-auspicious
οἰωνοῖς τὰς ἀποικίας προπέμποντες· εἰ δ' ἐπὶ μηνίμασι
omens the colonies sending-off if but for wraths
δαιμονίοις ἀπαλλαγὰς αἰτούμενοι τῶν κατεχόντων σφᾶς
divine releases asking from-the holding them
κακῶν τὸ παραπλήσιον δρῷεν, αὐτοί τε ἀχθόμενοι
evils the similar they-should-do themselves both grieving
καὶ συγγνώμονας ἀξιοῦντες γενέσθαι τοὺς ἀπελαυνομένους.
and forgiving asking to-become those being-driven-out
οἱ δὲ ἀπαναστάντες ὡς οὐκέτι τῆς πατρῴας γῆς 16.3
those and having-departed as no-longer of-the ancestral land
μεταληψόμενοι, εἰ μὴ κτήσαιντο ἑτέραν, τὴν ὑποδεξαμένην
going-to-share if not they-should-acquire another the having-received
αὐτοὺς εἴτε πρὸς φιλίαν εἴτε ἐν πολέμῳ κρατηθεῖσαν
them whether in friendship or in war conquered
πατρίδα ἐποιοῦντο· ὅ τε θεὸς, ᾧ κατονομασθεῖεν
fatherland they-made the and god to-whom they-had-been-dedicated
ἀπελαυνόμενοι, συλλαμβάνειν αὐτοῖς ὡς τὰ πολλὰ ἐδόκει
being-driven-out to-help them as the many it-seemed
καὶ παρὰ τὴν ἀνθρωπίνην δόξαν κατορθοῦν τὰς ἀποικίας.
and beyond the human expectation to-make-succeed the colonies

16.4 τούτῳ δὴ τῷ νόμῳ χρώμενοι καὶ τότε τῶν Ἀβοριγίνων
this indeed the custom using also then of-the Aborigines
τινὲς ἀνθούντων ἀνδράσι τῶν χωρίων (κτείνειν γὰρ οὐδένα
some flourishing with-men of-the places to-kill for no-one
τῶν ἐκγόνων ἠξίουν, ἄγους οὐδενὸς ἔλαττον τοῦτο
of-the offspring they-thought-fit of-pollution than-none less this
τιθέμενοι), θεῶν ὅτῳ δὴ καθιερώσαντες ἐνιαυσίους
regarding to-gods whatever indeed having-dedicated yearly
γονὰς ἀνδρωθέντας ἀποικίζουσι τοὺς παῖδας ἐκ τῆς
offspring grown-to-manhood send-out-as-colonists the sons from the
σφετέρας, οἳ τοὺς Σικελοὺς ἄγοντές τε καὶ φέροντες
their-own who the Sicels carrying-off both and plundering
διετέλουν, ἐπειδὴ τὴν ἑαυτῶν ἐξέλιπον.
continued since the their-own they-had-left

16.5 ὡς δ' ἅπαξ οὗτοι χωρίων τινῶν τῆς πολεμίας ἐκράτησαν,
when and once these places some of-the enemy-land mastered
ἐκ τοῦ ἀσφαλεστέρου ἤδη καὶ οἱ λοιποὶ Ἀβοριγῖνες οἱ
from the safer already also the rest Aborigines those
δεόμενοι γῆς κατὰ σφᾶς ἕκαστοι ἐπεχείρουν τοῖς ὁμόροις
needing land by themselves each attacked the neighbors
καὶ πόλεις ἔκτισαν ἄλλας τέ τινας καὶ τὰς μέχρι τοῦδε
and cities founded others both some and those until now
οἰκουμένας, Ἀντεμνάτας καὶ Τελληνεῖς καὶ Φικολνέους τοὺς
inhabited Antemnates and Tellenians and Ficuleans those
πρὸς τοῖς καλουμένοις Κορνίκλοις ὄρεσι καὶ Τιβουρτίνους,
by the called Corniculan mountains and Tiburtines
παρ' οἷς ἔτι καὶ εἰς τόδε χρόνου μέρος τι τῆς πόλεως
among whom still even to this of-time part some of-the city
ὀνομάζεται Σικελικόν· καὶ ἦσαν ἁπάντων μάλιστα τῶν
is-named Sicel and they-were of-all most of-the
προσοικούντων λυπηροὶ τοῖς Σικελοῖς. ἀνίσταται δὲ ἐκ
neighbors troublesome to-the Sicels arises and from

τούτων τῶν διαφορῶν τοῖς ἔθνεσιν ὅλοις πόλεμος ὅσος
these the quarrels for-the nations whole a-war such-as
οὐδεὶς τῶν πρότερον γενομένων ἐν Ἰταλίᾳ, καὶ προῆλθεν
none of-the before having-been in Italy and it-advanced
ἄχρι πολλοῦ χρόνου μηκυνόμενος.
to much time prolonged

17–21 · THE PELASGIANS

The Pelasgians, Greeks of the Peloponnese, moved to Haemonia, later Thessaly. Driven out by the Curetes and Leleges under Deucalion, they scattered to Crete, the Cyclades, Boeotia, and the Hellespont; most went to their kinsmen at Dodona, whose oracle sent them to Italy, the land of Saturn. Some founded Spina on the Po; the rest, finding at Cotyle the floating island the oracle named, joined the Aborigines. Together they took Croton from the Umbrians, drove out the Sicels, and held Falerii and Fescennium, where Argive customs and a temple of Hera long remained.

ἔπειτα Πελασγῶν τινες τῶν οἰκούντων ἐν τῇ καλουμένῃ 17.1
then of-Pelasgians some of-those dwelling in the called
νῦν Θετταλίᾳ τὴν ἑαυτῶν ἀναγκασθέντες ἐκλιπεῖν σύνοικοι
now Thessaly the their-own having-been-compelled to-leave fellow-dwellers
γίνονται τοῖς Ἀβοριγῖσι καὶ κοινῇ μετ' ἐκείνων
become with-the Aborigines and in-common with them
ἐπολέμουν πρὸς τοὺς Σικελούς. ἐδέξαντο δὲ αὐτοὺς οἱ
warred against the Sicels received and them the
Ἀβοριγῖνες, ἴσως μὲν καὶ κατὰ τὴν τοῦ ὠφεληθήσεσθαι
Aborigines perhaps indeed also from the of-the to-be-going-to-be-benefited
ἐλπίδα, ὡς δ' ἐγὼ πείθομαι κατὰ τὸ συγγενὲς μάλιστα.
hope as but I am-persuaded from the kinship most

17.2 ἦν γὰρ δὴ καὶ τὸ τῶν Πελασγῶν γένος Ἑλληνικὸν ἐκ
was for indeed also the of-the Pelasgians race Greek from
Πελοποννήσου τὸ ἀρχαῖον, ἐχρήσατο δὲ τύχαις δυσπότμοις
Peloponnese the of-old experienced and fortunes ill-starred
εἰς πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δ' εἰς τὴν πολύπλανόν
in many indeed also other-things most but in the much-wandering
τε καὶ οὐδενὸς τόπου βέβαιον οἴκησιν, πρῶτον μὲν γὰρ
both and of-no place firm habitation first indeed for
περὶ τὸ καλούμενον νῦν Ἀχαϊκὸν Ἄργος ᾤκησαν αὐτόχθονες
about the called now Achaean Argos they-dwelt native
ὄντες, ὡς οἱ πολλοὶ περὶ αὐτῶν λέγουσι. τὴν δὲ ἐπωνυμίαν
being as the many about them say the and name
ἔλαβον ἐξ ἀρχῆς ταύτην ἐπὶ τοῦ Πελασγοῦ βασιλέως.
they-took from the-beginning this after — Pelasgus king

17.3 ἦν δὲ ὁ Πελασγὸς ἐκ Διὸς, ὡς λέγεται, καὶ Νιόβης
was and — Pelasgus from Zeus as is-said and Niobe
τῆς Φορωνέως, ᾗ πρώτῃ γυναικὶ θνητῇ μίσγεται
the daughter-of-Phoroneus with-whom first woman mortal lies
ὁ Ζεὺς ὡς ὁ μῦθος ἔχει. ἕκτῃ δ' ὕστερον γενεᾷ
— Zeus as the myth has in-the-sixth and later generation
Πελοπόννησον ἐκλιπόντες εἰς τὴν τότε μὲν Αἱμονίαν, νῦν
Peloponnese having-left to the then indeed Haemonia now
δὲ Θετταλίαν ὀνομαζομένην μετανέστησαν· ἡγοῦντο δὲ τῆς
but Thessaly called migrated led and the
ἀποικίας Ἀχαιὸς καὶ Φθῖος καὶ Πελασγὸς οἱ Λαρίσης καὶ
colony Achaeus and Phthius and Pelasgus the of-Larisa and
Ποσειδῶνος υἱοί. ἀφικόμενοι δ' εἰς τὴν Αἱμονίαν τούς τε
of-Poseidon sons having-arrived and into — Haemonia the both
κατοικοῦντας ἐν αὐτῇ βαρβάρους ἐξελαύνουσι καὶ νέμονται
dwelling in it barbarians they-drive-out and divide
τὴν χώραν τριχῇ, τοῖς ἡγεμόσι ποιήσαντες ὁμωνύμους
the country in-three to-the leaders having-made named-alike

τὰς μοίρας, Φθιῶτιν καὶ Ἀχαΐαν καὶ Πελασγιῶτιν. πέντε
the parts Phthiotis and Achaia and Pelasgiotis five
δὲ μείναντες αὐτόθι γενεάς, ἐν αἷς ἐπὶ μήκιστον
and having-remained there generations in which to furthest
εὐτυχίας ἤλασαν τὰ κράτιστα τῶν ἐν τῇ Θετταλίᾳ
of-prosperity they-advanced the best of-the in — Thessaly
πεδίων καρπούμενοι, περὶ τὴν ἕκτην γενεὰν ἐξελαύνονται
plains enjoying about the sixth generation they-are-driven-out
Θετταλίας ὑπό τε Κουρήτων καὶ Λελέγων, οἳ νῦν Αἰτωλοὶ
of-Thessaly by both Curetes and Leleges who now Aetolians
καὶ Λοκροὶ καλοῦνται, καὶ συχνῶν ἄλλων τῶν περὶ τὸν
and Locrians are-called and many others of-those about the
Παρνασὸν οἰκούντων, ἡγουμένου τῶν πολεμίων Δευκαλίωνος
Parnassus dwelling leading the enemies Deucalion
τοῦ Προμηθέως, μητρὸς δὲ Κλυμένης τῆς Ὠκεανοῦ.
the son-of-Prometheus of-mother and Clymene the daughter-of-Ocean
σκεδασθέντες δὲ κατὰ τὴν φυγὴν οἱ μὲν εἰς Κρήτην 18.1
scattered and in the flight some indeed to Crete
ἀπῆλθον, οἱ δὲ τῶν Κυκλάδων νήσων τινὰς κατέσχον, οἱ
went-away others and of-the Cyclades islands some occupied others
δὲ τὴν περὶ τὸν Ὄλυμπόν τε καὶ τὴν Ὄσσαν, καλουμένην
and the about the Olympus both and the Ossa called
δὲ Ἑστιαιῶτιν ᾤκισαν, ἄλλοι δὲ εἴς τε Βοιωτίαν καὶ
and Hestiaeotis settled others and to both Boeotia and
Φωκίδα καὶ Εὔβοιαν διεκομίσθησαν· οἱ δ' εἰς τὴν Ἀσίαν
Phocis and Euboea crossed others and to — Asia
περαιωθέντες τῆς περὶ τὸν Ἑλλήσποντον παραλίου πολλὰ
having-crossed of-the about the Hellespont coast many
χωρία κατέσχον καὶ τῶν παρακειμένων αὐτῇ νήσων ἄλλας
places occupied and of-the lying-near it islands others
τε συχνὰς καὶ τὴν νῦν καλουμένην Λέσβον, ἀναμιχθέντες
both many and the now called Lesbos having-mingled

τοῖς ἐκ τῆς Ἑλλάδος στέλλουσι τὴν πρώτην ἀποικίαν
with-those from — Greece sending the first colony
εἰς αὐτὴν ἄγοντος Μάκαρος τοῦ Κριάσου.
to it leading Macar the son-of-Criasus

18.2 τὸ δὲ πλεῖον αὐτῶν μέρος διὰ τῆς μεσογείου τραπόμενοι
the and greater their part through the inland having-turned
πρὸς τοὺς ἐν Δωδώνῃ κατοικοῦντας σφῶν συγγενεῖς, οἷς
to those in Dodona dwelling their kinsmen whom
οὐδεὶς ἠξίου πόλεμον ἐπιφέρειν ὡς ἱεροῖς, χρόνον μέν
no-one thought-fit war to-make-on as sacred time indeed
τινα σύμμετρον αὐτόθι διέτριψαν· ἐπεὶ δὲ λυπηροὶ αὐτοῖς
some moderate there spent when but burdensome to-them
ὄντες ἠσθάνοντο οὐχ ἱκανῆς οὔσης ἅπαντας τρέφειν τῆς
being they-perceived not sufficient being all to-feed the
γῆς, ἐκλείπουσι τὴν χώραν χρησμῷ πειθόμενοι κελεύοντι
land they-leave the country an-oracle obeying bidding
πλεῖν εἰς Ἰταλίαν, ἣ τότε Σατορνία ἐλέγετο.
to-sail to Italy which then Saturnia was-called

18.3 κατασκευασάμενοι δὲ ναῦς πολλὰς περαιοῦνται τὸν Ἰόνιον,
having-built and ships many they-cross the Ionian
σπουδὴν μὲν ποιούμενοι τῶν ἔγγιστα τῆς Ἰταλίας ἅψασθαι
zeal indeed making of-the nearest — of-Italy to-reach
χωρίων· ὑπὸ δὲ νοτίου πνεύματος καὶ ἀγνοίας τῶν τόπων
places by and southern wind and ignorance of-the places
μετεωρότεροι ἐνεχθέντες καὶ πρὸς ἑνὶ τῶν τοῦ Πάδου
farther-out having-been-carried and at one of-the of-the Padus
στομάτων ὁρμισάμενοι Σπινῆτι καλουμένῳ ναῦς μὲν αὐτοῦ
mouths having-anchored Spines called the-ships indeed there
ταύτῃ καταλείπουσι καὶ τὸν ἥκιστα δυνάμενον ταλαιπωρεῖν
in-this-place they-leave and the least able to-endure-hardship

ὄχλον, φυλακὴν ἐπ᾽ αὐταῖς καταστήσαντες, ὡς ἔχοιεν
crowd as-guard over them having-set so-that they-might-have
εἰ μὴ προχωροίη σφίσι τὰ πράγματα καταφυγήν.
if not should-go-well for-them the affairs a-refuge
καὶ οἱ μὲν ὑπομείναντες ἐν τούτῳ τῷ χωρίῳ, τεῖχος τῷ 18.4
and those indeed having-remained in this the place a-wall around-the
στρατοπέδῳ περιβαλόμενοι καὶ ταῖς ναυσὶν εἰσκομίσαντες
camp having-thrown and in-the ships having-brought-in
τὰς εἰς τὸν βίον εὐπορίας, ἐπειδὴ κατὰ γνώμην ἐδόκει
the for the life supplies when according-to wish seemed
χωρεῖν αὐτοῖς τὰ πράγματα, πόλιν ἔκτισαν ὁμώνυμον τῷ
to-go for-them the affairs a-city they-founded named-the-same as-the
στόματι τοῦ ποταμοῦ· εὐτύχησάν τε μάλιστα τῶν περὶ
mouth of-the river they-prospered both most of-those about
τὸν Ἰόνιον οἰκούντων θαλαττοκρατοῦντες ἄχρι πολλοῦ,
the Ionian dwelling ruling-the-sea for long
καὶ δεκάτας εἰς Δελφοὺς ἀνῆγον τῷ θεῷ τῶν ἀπὸ τῆς
and tithes to Delphi they-sent-up to-the god of-the from the
θαλάττης ὠφελειῶν, εἴπερ τινὲς καὶ ἄλλοι, λαμπροτάτας.
sea gains if-ever any also others most-splendid
ὕστερον μέντοι μεγάλῃ χειρὶ τῶν προσοικούντων βαρβάρων 18.5
later however with-a-great hand the neighboring barbarians
ἐπιστρατευσάντων αὐτοῖς ἐξέλιπον τὴν πόλιν· οἱ δὲ βάρβαροι
having-marched-against them they-left the city the and barbarians
μετὰ χρόνον ἀνέστησαν ὑπὸ Ῥωμαίων. καὶ τὸ μὲν ἐν τῷ
after time were-driven-out by Romans and the indeed in the
Σπινῆτι καταλειφθὲν γένος τῶν Πελασγῶν οὕτως ἐφθάρη.
Spines left race of-the Pelasgians thus perished
οἱ δὲ διὰ τῆς μεσογείου τραπόμενοι, τὴν ὀρεινὴν τῆς 19.1
those and through the inland having-turned the mountainous-region —
Ἰταλίας ὑπερβαλόντες, εἰς τὴν Ὀμβρικῶν ἀφικνοῦνται χώραν
of-Italy having-crossed into the of-Umbrians arrive country

τῶν ὁμορούντων Ἀβοριγῖσι. πολλὰ δὲ καὶ ἄλλα χωρία τῆς
of-those bordering-on the-Aborigines many and also other places —
Ἰταλίας ᾤκουν Ὀμβρικοί, καὶ ἦν τοῦτο τὸ ἔθνος ἐν τοῖς
of-Italy inhabited Umbrians and was this the nation among the
πάνυ μέγα τε καὶ ἀρχαῖον. τὸ μὲν οὖν κατ᾽ ἀρχὰς ἐκράτουν
very great both and ancient the indeed then at first mastered
οἱ Πελασγοὶ τῶν χωρίων ἔνθα τὸ πρῶτον ἱδρύσαντο καὶ
the Pelasgians the places where the first they-settled and
πολισμάτια τῶν Ὀμβρικῶν κατελάβοντό τινα· συνελθόντος
small-towns of-the Umbrians seized some having-come-together
δ᾽ ἐπ᾽ αὐτοὺς μεγάλου στρατοῦ δείσαντες τῶν πολεμίων
and against them a-great army having-feared of-the enemies
τὸ πλῆθος εἰς τὴν Ἀβοριγίνων ἀπιόντες τρέπονται.
the multitude into the of-Aborigines going-away they-turn
19.2 καὶ οἱ μὲν Ἀβοριγῖνες ἅτε πολεμίοις ἐδικαίουν αὐτοῖς
and the indeed Aborigines as enemies thought-it-right them
προσφέρεσθαι καὶ συνῄεσαν ἐκ τῶν ἔγγιστα χωρίων
to-treat and came-together from the nearest places
διὰ τάχους ὡς ἐξαναστήσοντες αὐτούς. οἱ δὲ Πελασγοί
with speed as going-to-drive-out them the but Pelasgians
(τυγχάνουσι γὰρ ἐν τούτῳ τῷ χρόνῳ κατὰ δαίμονα
happen for at this the time by chance
περὶ Κοτυλίαν πόλιν Ἀβοριγίνων αὐλισάμενοι πλησίον
about Cotylia city of-Aborigines having-encamped near
τῆς ἱερᾶς λίμνης) ὡς δὲ τήν τε νησῖδα τὴν ἐν αὐτῇ
the sacred lake when and the both islet the on it
περιδινουμένην κατέμαθον καὶ παρὰ τῶν αἰχμαλώτων,
whirling they-observed and from the captives
οὓς ἐκ τῶν ἀγρῶν ἔλαβον, ἤκουσαν τὸ τῶν ἐπιχωρίων
whom from the fields they-took heard the of-the natives
ὄνομα τέλος ἔχειν σφίσι τὸ θεοπρόπιον ὑπέλαβον.
name fulfillment to-have for-them the oracle they-supposed

ὁ γὰρ ἐν Δωδώνῃ γενόμενος αὐτοῖς χρησμός, ὅν φησι 19.3
the for in Dodona having-been to-them oracle which says
Λεύκιος Μάλλιος ἀνὴρ οὐκ ἄσημος αὐτὸς ἰδεῖν ἐπί
Lucius Mallius a-man not obscure himself to-have-seen on
τινος τῶν ἐν τῷ τεμένει τοῦ Διὸς κειμένων τριπόδων
one of-the in the precinct — of-Zeus lying tripods
γράμμασιν ἀρχαίοις ἐγκεχαραγμένον, ὡδὶ εἶχε·
with-letters ancient engraved thus ran

στείχετε μαιόμενοι Σικελῶν Σατόρνιον αἶαν
go seeking of-Sicels Saturnian land
ἠδ' Ἀβοριγινέων Κοτύλην, οὗ νᾶσος ὀχεῖται·
and of-Aborigines Cotyle where an-island floats
οἷς ἀναμιχθέντες δεκάτην ἐκπέμψατε Φοίβῳ
with-whom having-mingled a-tithe send-out to-Phoebus
καὶ κεφαλὰς Κρονίδῃ καὶ τῷ πατρὶ πέμπετε φῶτα.
and heads to-the-son-of-Cronus and to-the father send a-man

ἐλθοῦσι δὴ τοῖς Ἀβοριγῖσι σὺν πολλῇ στρατιᾷ ἱκετηρίας 20.1
having-come indeed to-the Aborigines with large army suppliant-branches
οἱ Πελασγοὶ προτείνοντες ὁμόσε χωροῦσιν ἄνοπλοι
the Pelasgians holding-out to-meet-them advance unarmed
φράζοντές τε τὰς ἑαυτῶν τύχας καὶ δεόμενοι πρὸς φιλίαν
telling both the their-own fortunes and asking in friendship
δέξασθαι σφᾶς συνοίκους οὐ λυπηροὺς ἐσομένους, ἐπεὶ
to-receive them as-fellow-dwellers not burdensome going-to-be since
καὶ τὸ δαιμόνιον αὐτοὺς εἰς τήνδε μόνην ἄγει τὴν χώραν,
also the divinity them to this alone leads the country
ἐξηγούμενοι τὸ λόγιον.
expounding the oracle

20.2 τοῖς δὲ Ἀβοριγῖσι ταῦτα πυθομένοις ἐδόκει πείθεσθαι
to-the and Aborigines these-things having-learned it-seemed-good to-obey
τῷ θεοπροπίῳ καὶ λαβεῖν συμμαχίαν Ἑλληνικὴν κατὰ τῶν
the oracle and to-take an-alliance Greek against the
διαφόρων σφίσι βαρβάρων, πονουμένοις τῷ πρὸς τοὺς
hostile to-them barbarians being-hard-pressed by-the with the
Σικελοὺς πολέμῳ. σπένδονταί τε δὴ πρὸς τοὺς Πελασγοὺς
Sicels war they-make-a-treaty both indeed with the Pelasgians
καὶ διδόασιν αὐτοῖς χωρία τῆς ἑαυτῶν ἀποδασάμενοι τὰ
and give them places of-the their-own having-divided-off the-ones
περὶ τὴν ἱερὰν λίμνην, ἐν οἷς ἦν τὰ πολλὰ ἑλώδη, ἃ νῦν
about the sacred lake in which were the most marshy which now
κατὰ τὸν ἀρχαῖον τῆς διαλέκτου τρόπον Οὐέλια ὀνομάζεται.
in the ancient of-the dialect manner Velia is-named
20.3 σύνηθες γὰρ ἦν τοῖς ἀρχαίοις Ἕλλησιν ὡς τὰ πολλὰ
customary for was for-the ancient Greeks as the most
προτιθέναι τῶν ὀνομάτων, ὁπόσων αἱ ἀρχαὶ ἀπὸ
to-put-before of-the names as-many-as the beginnings from
φωνηέντων ἐγίνοντο, τὴν ου συλλαβὴν ἑνὶ στοιχείῳ
vowels were the ou syllable with-one letter
γραφομένην. τοῦτο δ' ἦν ὥσπερ γάμμα διτταῖς ἐπὶ μίαν
written this and was like a-gamma with-double on one
ὀρθὴν ἐπιζευγνύμενον ταῖς πλαγίοις, ὡς ϝελένη καὶ ϝάναξ
upright joined the oblique-strokes as welene and wanax
καὶ ϝοῖκος καὶ ϝαὴρ καὶ πολλὰ τοιαῦτα.
and woikos and waer and many such
20.4 ἔπειτα μοῖρά τις αὐτῶν οὐκ ἐλαχίστη, ὡς ἡ γῆ πᾶσιν
then part some of-them not smallest as the land for-all
οὐκ ἀπέχρη, πείσαντες τοὺς Ἀβοριγῖνας συνάρασθαί
not sufficed having-persuaded the Aborigines to-join-in
σφισι τῆς ἐξόδου στρατεύουσιν ἐπὶ τοὺς Ὀμβρικοὺς καὶ
with-them of-the expedition march against the Umbrians and

πόλιν αὐτῶν εὐδαίμονα καὶ μεγάλην ἄφνω προσπεσόντες
a-city of-them prosperous and great suddenly having-fallen-on
αἱροῦσι Κρότωνα· ταύτῃ φρουρίῳ καὶ ἐπιτειχίσματι κατὰ
take Croton this as-a-stronghold and fort against
τῶν Ὀμβρικῶν χρώμενοι, κατεσκευασμένῃ τε ὡς ἔρυμα
the Umbrians using furnished both so-that a-bulwark
εἶναι πολέμου ἀποχρώντως καὶ χώραν ἐχούσῃ τὴν πέριξ
to-be of-war sufficiently and country having the around
εὔβοτον, πολλῶν καὶ ἄλλων ἐκράτησαν χωρίων τοῖς τε
good-pasturing many and other mastered places with-the both
Ἀβοριγῖσι τὸν πρὸς τοὺς Σικελοὺς πόλεμον ἔτι συνεστῶτα
Aborigines the against the Sicels war still standing
πολλῇ προθυμίᾳ συνδιέφερον, ἕως ἐξήλασαν αὐτοὺς ἐκ
with-much eagerness waged-together until they-drove-out them from
τῆς σφετέρας.
the their-own
καὶ πόλεις πολλὰς, τὰς μὲν οἰκουμένας καὶ πρότερον 20.5
and cities many some indeed inhabited also before
ὑπὸ τῶν Σικελῶν, τὰς δ' αὐτοὶ κατασκευάσαντες, ᾤκουν
by the Sicels others and themselves having-built inhabited
οἱ Πελασγοὶ κοινῇ μετὰ τῶν Ἀβοριγίνων, ὧν ἐστιν
the Pelasgians in-common with the Aborigines of-which is
ἥ τε Καιρητανῶν πόλις, Ἄγυλλα δὲ τότε καλουμένη,
the both of-Caeretani city Agylla and then called
καὶ Πίσα καὶ Σατορνία καὶ Ἅλσιον καὶ ἄλλαι τινὲς, ἃς
and Pisa and Saturnia and Alsium and others some which
ἀνὰ χρόνον ὑπὸ Τυρρηνῶν ἀφῃρέθησαν.
in time by Tyrrhenians were-taken-away
Φαλέριον δὲ καὶ Φασκέννιον ἔτι καὶ εἰς ἐμὲ ἦσαν 21.1
Falerii but and Fescennium still also to me were
οἰκούμεναι ὑπὸ Ῥωμαίων, μίκρ' ἄττα διασώζουσαι ζώπυρα
inhabited by Romans small some preserving sparks

τοῦ Πελασγικοῦ γένους, Σικελῶν ὑπάρχουσαι πρότερον. ἐν
of-the Pelasgian race of-Sicels belonging earlier in
ταύταις διέμεινε πολλὰ τῶν ἀρχαίων διαιτημάτων, οἷς τὸ
these remained many of-the ancient ways-of-life which the
Ἑλληνικόν ποτ' ἐχρήσατο, ἐπὶ μήκιστον χρόνον, οἷον ὅ τε
Greek once used for longest time such-as the both
τῶν ὅπλων τῶν πολεμιστηρίων κόσμος, ἀσπίδες Ἀργολικαὶ
of-the arms of-the warlike fashion shields Argolic
καὶ δόρατα, καὶ ὁπότε πολέμου ἄρχοντες ἢ τοὺς ἐπιόντας
and spears and whenever war beginning or those attacking
ἀμυνόμενοι στρατὸν ὑπερόριον ἀποστέλλοιεν ἱεροί τινες
repelling an-army beyond-the-borders they-sent sacred some
ἄνδρες ἄνοπλοι πρὸ τῶν ἄλλων ἰόντες σπονδοφόροι, τῶν
men unarmed before the others going treaty-bearers of-the
τε ἱερῶν αἱ κατασκευαὶ καὶ τὰ ἕδη τῶν θεῶν ἁγισμοί
both sacred-rites the furnishings and the images of-the gods purifications
τε καὶ θυσίαι καὶ πολλὰ τοιαῦτα ἕτερα·
both and sacrifices and many such other-things
21.2 πάντων δὲ περιφανέστατον μνημεῖον τῆς ἐν Ἄργει ποτὲ
of-all and most-conspicuous memorial of-the in Argos once
οἰκήσεως τῶν ἀνθρώπων ἐκείνων οἳ τοὺς Σικελοὺς
habitation of-the men those who the Sicels
ἐξήλασαν, ὁ τῆς Ἥρας νεὼς ἐν Φαλερίῳ κατεσκευασμένος
drove-out the — of-Hera temple in Falerii furnished
ὡς ἐν Ἄργει, ἔνθα καὶ τῶν θυηπολιῶν ὁ τρόπος ὅμοιος ἦν
as in Argos where also of-the rituals the manner like was
καὶ γυναῖκες ἱεραὶ θεραπεύουσαι τὸ τέμενος ἥ τε λεγομένη
and women sacred serving the precinct the both called
κανηφόρος ἁγνὴ γάμων παῖς καταρχομένη τῶν θυμάτων
basket-bearer pure of-marriage a-girl beginning the sacrifices
χοροί τε παρθένων ὑμνουσῶν τὴν θεὸν ᾠδαῖς πατρίοις.
choruses both of-maidens hymning the goddess with-songs ancestral

ἔσχον δέ τινα καὶ οὗτοι τῶν καλουμένων Καμπανῶν 21.3
held and some also these of-the called Campanian
εὐβότων πάνυ καὶ τὴν ὄψιν ἡδίστων πεδίων οὐκ
good-pasturing very and to-the sight most-pleasant plains not
ἐλαχίστην μοῖραν, ἔθνος τι βαρβαρικὸν Αὐρωνίσσους
least part a-nation some barbarian Auronissi
ἐκ μέρους ἀναστήσαντες αὐτῶν· καὶ πόλεις αὐτόθι
in part having-driven-out them and cities there
κατεσκεύασαν ἄλλας τε καὶ Λάρισαν, ἐπὶ τῆς ἐν
built others both and Larisa after the in
Πελοποννήσῳ σφῶν μητροπόλεως ὄνομα θέμενοι αὐτῇ.
Peloponnese their mother-city name having-given it
τῶν μὲν οὖν ἄλλων πολισμάτων ἔστιν ἃ καὶ μέχρις 21.4
of-the indeed then other small-towns there-are some-which even until
ἐμοῦ ὀρθὰ ἦν, διαμείψαντα πολλάκις τοὺς οἰκήτορας· ἡ
me standing were having-changed often the inhabitants —
δὲ Λάρισα ἐκ πολλῶν πάνυ χρόνων ἐρημωθεῖσα οὐδ'
but Larisa from many very times having-been-deserted not-even
εἰ πώποτε ᾠκήθη γνώρισμα φανερὸν οὐδὲν ἔχει τοῖς
if ever it-was-inhabited a-token manifest any has to-those
νῦν ὅτι μὴ τοὔνομα, καὶ οὐδὲ τοῦτο πολλοὶ ἴσασιν·
now except the name and not-even this many know
ἦν δὲ ἀγορᾶς Ποπιλίας καλουμένης οὐ πρόσω. πολλὰ
it-was and of-the-forum Popilian called not far many
δὲ καὶ ἄλλα τῆς τε παραθαλαττίου καὶ ἐν τῇ μεσογείῳ
and also other of-the both coastal and in the inland
χωρία κατέσχον ἀφελόμενοι τοὺς Σικελούς.
places they-occupied having-taken-from the Sicels

Pressed by Pelasgians and Aborigines, the Sicels crossed to the island of the Sicani, named Sicily after them; Dionysius gives the accounts of Hellanicus, Philistus, Antiochus, and Thucydides. The Pelasgians flourished, but in the second generation before the Trojan War drought, blight, misshapen births, and disease struck them, and an oracle was read as claiming a tithe of their children. Strife scattered them over Greece and abroad; skilled in war and at sea, they were also called Tyrrhenians. A few stayed among the Aborigines, and their cities passed chiefly to the Tyrrhenians.

22.1 οἱ δὲ Σικελοὶ (οὐ γὰρ ἔτι ἀντέχειν οἷοί τε ἦσαν ὑπό
the and Sicels not for any-longer to-hold-out able — were by
τε Πελασγῶν καὶ Ἀβοριγίνων πολεμούμενοι) τέκνα καὶ
both Pelasgians and Aborigines being-warred-on children and
γυναῖκας καὶ τῶν χρημάτων ὅσα χρυσὸς ἢ ἄργυρος
women and of-the goods as-much-as gold or silver
ἦν ἀνασκευασάμενοι μεθίενται αὐτοῖς ἁπάσης τῆς γῆς.
was having-packed-up give-up to-them all the land
τραπόμενοι δὲ διὰ τῆς ὀρεινῆς ἐπὶ τὰ νότια
having-turned and through the mountainous-region to the south
καὶ διεξελθόντες ἅπασαν Ἰταλίαν τὴν κάτω, ἐπειδὴ
and having-gone-through all Italy the lower since
πανταχόθεν ἀπηλαύνοντο, σὺν χρόνῳ κατασκευασάμενοι
from-all-sides they-were-driven-away in time having-built
σχεδίας ἐπὶ τῷ πορθμῷ καὶ φυλάξαντες κατιόντα τὸν
rafts at the strait and having-watched-for coming-down the
ῥοῦν ἀπὸ τῆς Ἰταλίας διέβησαν ἐπὶ τὴν ἔγγιστα νῆσον.
current from — Italy crossed to the nearest island

22.2 κατεῖχον δ' αὐτὴν Σικανοί, γένος Ἰβηρικόν, οὐ πολλῷ
held and it Sicani a-race Iberian not by-much
πρότερον ἐνοικισάμενοι Λίγυας φεύγοντες, καὶ παρεσκεύασαν
earlier having-settled Ligurians fleeing and made

ἀφ᾽ ἑαυτῶν Σικανίαν κληθῆναι τὴν νῆσον, Τρινακρίαν
from themselves Sicania to-be-called the island Trinacria
πρότερον ὀνομαζομένην ἐπὶ τοῦ τριγώνου σχήματος. ἦσαν
earlier named from the triangular shape were
δὲ οὐ πολλοὶ ἐν μεγάλῃ αὐτῇ οἰκήτορες, ἀλλ᾽ ἡ πλείων
and not many in great it inhabitants but the greater
τῆς χώρας ἔτι ἦν ἔρημος. καταχθέντες οὖν εἰς αὐτὴν
of-the country still was deserted having-landed then on it
Σικελοὶ τὸ μὲν πρῶτον ἐν τοῖς ἑσπερίοις μέρεσιν ᾤκησαν,
Sicels the indeed first in the western parts dwelt
ἔπειτα καὶ ἄλλῃ πολλαχῇ, καὶ τοὔνομα ἡ νῆσος ἐπὶ
then and elsewhere in-many-places and the-name the island from
τούτων ἤρξατο Σικελία καλεῖσθαι.
these began Sicily to-be-called
τὸ μὲν δὴ Σικελικὸν γένος οὕτως ἐξέλιπεν Ἰταλίαν, ὡς 22.3
the indeed indeed Sicel race thus left Italy as
μὲν Ἑλλάνικος ὁ Λέσβιός φησι, τρίτῃ γενεᾷ πρότερον
indeed Hellanicus the Lesbian says in-the-third generation before
τῶν Τρωικῶν Ἀλκυόνης ἱερωμένης ἐν Ἄργει κατὰ τὸ
the Trojan-things Alcyone being-priestess in Argos in the
ἕκτον καὶ εἰκοστὸν ἔτος. δύο δὲ ποιεῖ στόλους Ἰταλικοὺς
sixth and twentieth year two and he-makes expeditions Italian
διαβάντας εἰς Σικελίαν· τὸν μὲν πρότερον Ἐλύμων, οὕς
having-crossed to Sicily the indeed earlier of-Elymians whom
φησιν ὑπ᾽ Οἰνώτρων ἐξαναστῆναι, τὸν δὲ μετὰ τοῦτον
he-says by Oenotrians to-have-been-driven-out the and after this
ἔτει πέμπτῳ γενόμενον Αὐσόνων Ἰάπυγας φευγόντων·
in-year fifth having-been of-Ausonians Iapygians fleeing
βασιλέα δὲ τούτων ἀποφαίνει Σικελὸν, ἀφ᾽ οὗ τοὔνομα
king and of-these he-declares Sicelus from whom the-name
τοῖς τε ἀνθρώποις καὶ τῇ νήσῳ τεθῆναι.
to-the both men and to-the island to-have-been-given

22.4 ὡς δὲ Φίλιστος ὁ Συρακούσιος ἔγραψε, χρόνος μὲν τῆς
as but Philistus the Syracusan wrote the-time indeed of-the
διαβάσεως ἦν ἔτος ὀγδοηκοστὸν πρὸ τοῦ Τρωικοῦ πολέμου,
crossing was year eightieth before the Trojan war
ἔθνος δὲ τὸ διακομισθὲν ἐξ Ἰταλίας οὔτε Σικελῶν οὔτε
nation and the carried-across from Italy neither of-Sicels nor
Αὐσόνων οὔτ' Ἐλύμων, ἀλλὰ Λιγύων, ἄγοντος αὐτοὺς
of-Ausonians nor of-Elymians but of-Ligurians leading them
Σικελοῦ· τοῦτον δ' εἶναί φησιν υἱὸν Ἰταλοῦ, καὶ τοὺς
Sicelus this-one and to-be says son of-Italus and the
ἀνθρώπους ἐπὶ τούτου δυναστεύοντος ὀνομασθῆναι Σικελούς·
men under him ruling to-have-been-named Sicels
22.5 ἐξαναστῆναι δ' ἐκ τῆς ἑαυτῶν τοὺς Λίγυας ὑπό τε
to-have-been-driven-out and from the their-own the Ligurians by both
Ὀμβρικῶν καὶ Πελασγῶν. Ἀντίοχος δὲ ὁ Συρακούσιος
Umbrians and Pelasgians Antiochus and the Syracusan
χρόνον μὲν οὐ δηλοῖ τῆς διαβάσεως, Σικελοὺς δὲ τοὺς
time indeed not shows of-the crossing Sicels but those
μεταναστάντας ἀποφαίνει βιασθέντας ὑπό τε Οἰνώτρων
having-migrated he-declares forced by both Oenotrians
καὶ Ὀπικῶν, Στράτωνα δ' ἡγεμόνα τῆς ἀποικίας
and Opici Straton and as-leader of-the colony
ποιησαμένους. Θουκυδίδης δὲ Σικελοὺς μὲν εἶναι γράφει
having-made Thucydides and Sicels indeed to-be writes
τοὺς μεταναστάντας, Ὀπικοὺς δὲ τοὺς ἐκβαλόντας, τὸν δὲ
those having-migrated Opici and those having-driven-out the and
χρόνον πολλοῖς ἔτεσι τῶν Τρωικῶν ὕστερον. τὰ μὲν
time by-many years than-the Trojan-things later the-things indeed
δὴ περὶ Σικελῶν λεγόμενα τῶν ἐξ Ἰταλίας μετενεγκαμένων
indeed about Sicels said those from Italy having-transferred
τὴν οἴκησιν εἰς Σικελίαν ὑπὸ τῶν λόγου ἀξίων τοιάδε ἐστίν.
the habitation to Sicily by those of-account worthy such are

οἱ δὲ Πελασγοὶ πολλῆς καὶ ἀγαθῆς χώρας κρατήσαντες, 23.1
the and Pelasgians much and good land having-mastered
πόλεις τε πολλὰς μὲν παραλαβόντες, ἄλλας δ' αὐτοὶ
cities both many indeed having-taken-over others and themselves
κατασκευάσαντες, μεγάλην καὶ ταχεῖαν ἐπίδοσιν ἔλαβον εἰς
having-built great and swift increase took in
εὐανδρίαν καὶ πλοῦτον καὶ τὴν ἄλλην εὐτυχίαν, ἧς οὐ
abundance-of-men and wealth and the other prosperity which not
πολὺν ὤναντο χρόνον· ἀλλ' ἡνίκα μάλιστα τοῖς σύμπασιν
long they-enjoyed time but when most in-the all
ἀνθεῖν ἐδόκουν, δαιμονίοις τισὶ χόλοις ἐλαστρηθέντες οἱ μὲν
to-flourish they-seemed by-divine some wraths driven some indeed
ὑπὸ τῶν θείων συμφορῶν, οἱ δὲ ὑπὸ τῶν προσοικούντων
by the divine calamities others and by the neighboring
βαρβάρων ἐξεφθάρησαν, τὸ δὲ πλεῖστον αὐτῶν μέρος εἰς
barbarians were-destroyed the but most their part to
τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον αὖθις ἐσκεδάσθη (περὶ ὧν
— Greece and the barbarian-land again was-scattered about which
πολὺς ἂν εἴη λόγος, εἰ βουλοίμην τὴν ἀκρίβειαν γράφειν),
much — would-be account if I-wished the exactness to-write
ὀλίγον δὲ κατέμεινεν ἐν Ἰταλίᾳ τῶν Ἀβοριγίνων προνοίᾳ.
little and remained in Italy of-the Aborigines by-the-forethought
πρῶτον μὲν οὖν τῆς οἰκοφθορίας ταῖς πόλεσιν ἐδόκει 23.2
first indeed then of-the ruin for-the cities seemed
αὐχμῷ ἡ γῆ κακωθεῖσα ἄρξαι, ἡνίκα οὔτ' ἐπὶ
by-drought the land having-been-afflicted to-have-begun when neither on
τοῖς δένδρεσι καρπὸς οὐδεὶς ὡραῖος γενέσθαι διέμεινεν,
the trees fruit any ripe to-become remained
ἀλλ' ὠμοὶ κατέρρεον, οὔθ' ὁπόσα σπερμάτων ἀνέντα
but unripe fell nor as-many-as of-seeds having-sent-up
βλαστοὺς ἀνθήσειεν ἕως στάχυος ἀκμῆς τοὺς κατὰ νόμον
shoots should-flower until of-the-ear ripeness the by law

ἐξεπλήρου χρόνους, οὔτε πόα κτήνεσιν ἐφύετο διαρκής,
fulfilled times nor grass for-cattle grew sufficient
τῶν τε ναμάτων τὰ μὲν οὐκέτι πίνεσθαι σπουδαῖα ἦν,
of-the both springs some indeed no-longer to-be-drunk good were
τὰ δ' ὑπελίμπανε θέρους, τὰ δ' εἰς τέλος ἀπεσβέννυτο.
others and failed in-summer others and to the-end dried-up
23.3 ἀδελφὰ δὲ τούτοις ἐγίνετο περί τε προβάτων καὶ γυναικῶν
akin and to-these happened about both of-sheep and of-women
γονάς· ἢ γὰρ ἐξημβλοῦτο τὰ ἔμβρυα, ἢ κατὰ τοὺς τόκους
births either for were-aborted the embryos or at the births
διεφθείρετο ἔστιν ἃ καὶ τὰς φερούσας συνδιαλυμηνάμενα.
were-destroyed there-are some also the bearing having-destroyed-with-them
εἰ δέ τι διαφύγοι τὸν ἐκ τῶν ὠδίνων κίνδυνον ἔμπηρον ἢ
if but anything should-escape the from the pains danger maimed or
ἀτελὲς ἢ δι' ἄλλην τινὰ τύχην βλαφθὲν τρέφεσθαι χρηστὸν
imperfect or through other some chance damaged to-be-reared good
οὐκ ἦν· ἔπειτα καὶ τὸ ἄλλο πλῆθος τὸ ἐν ἀκμῇ μάλιστα
not was then also the other multitude the in prime most
ἐκακοῦτο νόσοις καὶ θανάτοις παρὰ τὰ εἰκότα συχνοῖς.
was-afflicted by-diseases and deaths beyond the usual frequent
23.4 μαντευομένοις δ' αὐτοῖς τίνα θεῶν ἢ δαιμόνων παραβάντες
consulting-the-oracle and to-them what of-gods or of-divinities having-transgressed
τάδε πάσχουσι καὶ τί ποιήσασιν αὐτοῖς λωφῆσαι
these-things they-suffer and what having-done for-them to-abate
τὰ δεινὰ ἐλπίς, ὁ θεὸς ἀνεῖλεν ὅτι τυχόντες ὧν
the dread-things hope the god answered that having-obtained what
ἐβούλοντο οὐκ ἀπέδοσαν ἃ εὔξαντο, ἀλλὰ προσοφείλουσι
they-wished not they-rendered what they-vowed but still-owe
τὰ πλείστου ἄξια.
the most worth

οἱ γὰρ Πελασγοὶ ἀφορίας αὐτοῖς γενομένης ἐν τῇ 23.5
the for Pelasgians dearth to-them having-occurred in the
γῇ πάντων χρημάτων εὔξαντο τῷ τε Διὶ καὶ τῷ
land of-all goods vowed — both to-Zeus and —
Ἀπόλλωνι καὶ τοῖς Καβείροις καταθύσειν δεκάτας τῶν
to-Apollo and to-the Cabeiri to-be-going-to-sacrifice tithes of-the
προσγενησομένων ἁπάντων, τελεσθείσης δὲ τῆς εὐχῆς
going-to-accrue all having-been-fulfilled and the vow
ἐξελόμενοι καρπῶν τε καὶ βοσκημάτων ἁπάντων τὸ
having-selected of-fruits both and of-cattle all the
λάχος ἀπέθυσαν τοῖς θεοῖς, ὡς δὴ κατὰ τούτων μόνων
share sacrificed to-the gods as indeed for these alone
εὐξάμενοι. ταῦτα δὴ Μυρσίλος ὁ Λέσβιος ἱστόρηκεν
having-vowed these-things indeed Myrsilus the Lesbian has-recorded
ὀλίγου δεῖν τοῖς αὐτοῖς ὀνόμασι γράφων οἷς ἐγὼ νῦν,
of-a-little to-lack with-the same words writing which I now
πλὴν ὅσον οὐ Πελασγοὺς καλεῖ τοὺς ἀνθρώπους, ἀλλὰ
except so-far-as not Pelasgians he-calls the men but
Τυρρηνούς· τὴν δ' αἰτίαν ὀλίγον ὕστερον ἐρῶ.
Tyrrhenians the and cause a-little later I-shall-tell
ὡς δὲ ἀπενεχθέντα τὸν χρησμὸν ἔμαθον, οὐκ εἶχον 24.1
when and brought-back the oracle they-learned not they-could
τὰ λεγόμενα συμβαλεῖν. ἀμηχανοῦσι δὲ αὐτοῖς τῶν
the-things said to-interpret being-at-a-loss and to-them of-the
γεραιτέρων τις λέγει συμβαλὼν τὸ λόγιον, ὅτι τοῦ
elders someone says having-interpreted the oracle that the
παντὸς ἡμαρτήκασιν, εἰ οἴονται τοὺς θεοὺς ἀδίκως αὐτοῖς
whole they-have-erred if they-think the gods unjustly them
ἐγκαλεῖν. χρημάτων μὲν γὰρ ἀποδεδόσθαι τὰς ἀπαρχὰς
to-accuse of-goods indeed for to-have-been-rendered the first-fruits
αὐτοῖς ἁπάσας ὀρθῶς τε καὶ σὺν δίκῃ, ἀνθρώπων δὲ
to-them all rightly both and with justice of-men but

γονῆς τὸ λάχος, χρῆμα παντὸς μάλιστα θεοῖς τιμιώτατον,
offspring the share a-thing of-all most to-gods most-precious
ὀφείλεσθαι· εἰ δὲ δὴ καὶ τούτων λάβοιεν τὴν δικαίαν
to-be-owed if and indeed also of-these they-should-receive the just
μοῖραν, τέλος ἕξειν σφίσι τὸ λόγιον.
share fulfillment to-be-going-to-have for-them the oracle
24.2 τοῖς μὲν δὴ ὀρθῶς ἐδόκει λέγεσθαι ταῦτα, τοῖς δὲ
to-some indeed indeed rightly it-seemed to-be-said these-things to-others and
ἐξ ἐπιβουλῆς συγκεῖσθαι ὁ λόγος· εἰσηγησαμένου δέ
from a-plot to-have-been-composed the account having-proposed and
τινος τὴν γνώμην, τὸν θεὸν ἐπερέσθαι, εἰ αὐτῷ φίλον
someone the opinion the god to-ask if to-him dear
ἀνθρώπων δεκάτας ἀπολαμβάνειν, πέμπουσι τὸ δεύτερον
of-men tithes to-receive they-send the second-time
θεοπρόπους, καὶ ὁ θεὸς ἀνεῖλεν οὕτω ποιεῖν. ἐκ δὲ
consulters and the god answered so to-do from and
τούτου στάσις αὐτοὺς καταλαμβάνει περὶ τοῦ τρόπου τῆς
this faction them seizes about the manner of-the
δεκατεύσεως. καὶ ἐν ἀλλήλοις οἱ προεστηκότες τῶν
tithing and among one-another those presiding-over the
πόλεων τὸ πρῶτον ἐταράχθησαν·
cities the first were-thrown-into-confusion
24.3 ἔπειτα καὶ τὸ λοιπὸν πλῆθος δι᾽ ὑποψίας τοὺς ἐν τέλει
then also the rest multitude into suspicion those in authority
ἐλάμβανεν. ἐγίνοντό τε οὐδενὶ κόσμῳ αἱ ἀπαναστάσεις, ἀλλ᾽
took were both with-no order the departures but
ὥσπερ εἰκὸς οἴστρῳ καὶ θεοβλαβείᾳ ἀπελαυνόμεναι, καὶ
as is-likely by-frenzy and god-sent-madness driven and
πολλὰ ἐφέστια ὅλα ἐξηλείφθη μέρους αὐτῶν μεθισταμένου·
many hearths whole were-wiped-out part their emigrating

οὐ γὰρ ἐδικαίουν οἱ προσήκοντες τοῖς ἐξιοῦσιν ἀπολείπεσθαί
not for thought-it-right the kinsmen to-those going-out to-be-left
τε τῶν φιλτάτων καὶ ἐν τοῖς ἐχθίστοις ὑπομένειν.
both by-the dearest and among the most-hostile to-remain
πρῶτοι μὲν δὴ οὗτοι μεταναστάντες ἐξ Ἰταλίας εἴς τε 24.4
first indeed indeed these having-migrated from Italy to both
τὴν Ἑλλάδα καὶ τῆς βαρβάρου πολλὴν ἐπλανήθησαν. μετὰ
— Greece and of-the barbarian-land much wandered after
δὲ τοὺς πρώτους ἕτεροι ταὐτὸν ἔπαθον, καὶ τοῦτο διετέλει
and the first others the-same suffered and this continued
γινόμενον ὁσέτη. οὐ γὰρ ἀνίεσαν οἱ δυναστεύοντες ἐν ταῖς
happening every-year not for relaxed those ruling in the
πόλεσι τῆς ἀνδρουμένης ἀεὶ νεότητος ἐξαιρούμενοι τὰς
cities of-the reaching-manhood always youth selecting the
ἀπαρχάς, τοῖς τε θεοῖς τὰ δίκαια ὑπουργεῖν ἀξιοῦντες καὶ
first-fruits to-the both gods the due to-render claiming and
στασιασμοὺς ἐκ τῶν διαλαθόντων δεδιότες. ἦν δὲ πολὺ
seditions from those having-escaped-notice fearing was and much
καὶ τὸ πρὸς ἔχθραν σὺν προφάσει εὐπρεπεῖ ἀπελαυνόμενον
also the from hatred with pretext seemly being-driven-out
ὑπὸ τῶν διαφόρων· ὥστε πολλαὶ αἱ ἀπαναστάσεις ἐγίνοντο
by the opponents so-that many the departures happened
καὶ ἐπὶ πλεῖστον γῆς τὸ Πελασγικὸν γένος διεφορήθη.
and over most of-land the Pelasgian race was-scattered
ἦσαν δὲ τά τε πολέμια ἐκ τοῦ μετὰ κινδύνων πεποιῆσθαι 25.1
they-were and in-the both warlike-arts from the with dangers to-have-made
τὰς μελέτας ἐν ἔθνεσι φιλοπολέμοις ζῶντες πολλῶν
the exercises among nations warlike living than-many
ἀμείνους καὶ τῆς κατὰ τὰ ναυτικὰ ἐπιστήμης διὰ τὴν μετὰ
better and in-the in the naval-matters knowledge through the with
Τυρρηνῶν οἴκησιν ἐπὶ πλεῖστον ἐληλακότες· ἥ τε ἀνάγκη
Tyrrhenians habitation to furthest having-advanced the both necessity

ἱκανὴ οὖσα τοῖς ἀπορουμένοις βίου τόλμαν παρασχεῖν
sufficient being for-those lacking livelihood daring to-supply
ἡγεμών τε καὶ διδάσκαλος τοῦ παντὸς κινδυνεύματος αὐτοῖς
leader both and teacher of-the every venture to-them
ἐγίνετο, ὥστε οὐ χαλεπῶς ὅπη ἐπέλθοιεν ἐπεκράτουν.
became so-that not with-difficulty wherever they-attacked they-prevailed

25.2 ἐκαλοῦντο δὲ ὑπὸ τῶν ἄλλων ἀνθρώπων τῆς τε χώρας
were-called and by the other men of-the both country
ἐπικλήσει ἀφ᾽ ἧς ἐξανέστησαν καὶ τοῦ παλαιοῦ γένους
by-the-name from which they-had-departed and of-the ancient race
μνήμῃ οἱ αὐτοὶ Τυρρηνοὶ καὶ Πελασγοί. ὧν ἐγὼ λόγον
in-memory the same Tyrrhenians and Pelasgians of-which I account
ἐποιησάμην τοῦ μή τινα θαῦμα ποιεῖσθαι, ἐπειδὰν ποιητῶν
made that not any wonder to-make when of-poets
ἢ συγγραφέων ἀκούῃ τοὺς Πελασγοὺς καὶ Τυρρηνοὺς
or historians he-hears the Pelasgians also Tyrrhenians
ὀνομαζόντων, πῶς ἀμφοτέρας ἔσχον τὰς ἐπωνυμίας οἱ αὐτοί.
naming how both had the names the same

25.3 ἔχει γὰρ περὶ αὐτῶν καὶ Θουκυδίδης μὲν ἐναργῆ ἀκτῆς
has for about them also Thucydides indeed clear of-the-coast
τῆς Θρᾳκίας μνήμην καὶ τῶν ἐν αὐτῇ κειμένων πόλεων,
the Thracian mention and of-the in it lying cities
ἃς οἰκοῦσιν ἄνθρωποι δίγλωττοι. περὶ δὲ τοῦ Πελασγικοῦ
which inhabit men bilingual about and the Pelasgian
ἔθνους ὅδε ὁ λόγος· “ἔνι δέ τι καὶ Χαλκιδικὸν,
nation this the account there-is and something also Chalcidian
τὸ δὲ πλεῖστον Πελασγικὸν τῶν καὶ Λῆμνόν ποτε καὶ
the but most Pelasgian of-the both Lemnos once and
Ἀθήνας οἰκησάντων Τυρρηνῶν”.
Athens having-inhabited Tyrrhenians

Σοφοκλεῖ δ' ἐν Ἰνάχῳ δράματι ἀνάπαιστον ὑπὸ τοῦ 25.4
by-Sophocles and in Inachus drama an-anapaestic-passage by the
χοροῦ λεγόμενον πεποίηται ὧδε·
chorus spoken is-composed thus

Ἴναχε νᾶτορ, παῖ τοῦ κρηνῶν
Inachus fount-fed child of-the of-springs
πατρὸς Ὠκεανοῦ, μέγα πρεσβεύων
father Ocean greatly ruling
Ἄργους τε γύαις Ἥρας τε πάγοις,
of-Argos both over-the-fields of-Hera and over-the-hills
καὶ Τυρσηνοῖσι Πελασγοῖς.
and to-Tyrrhenian Pelasgians

Τυρρηνίας μὲν γὰρ δὴ ὄνομα τὸν χρόνον ἐκεῖνον ἀνὰ 25.5
of-Tyrrhenia indeed for indeed the-name the time that throughout
τὴν Ἑλλάδα ἦν, καὶ πᾶσα ἡ προσεσπέριος Ἰταλία τὰς
— Greece was and all the western Italy the
κατὰ τὸ ἔθνος ὀνομασίας ἀφαιρεθεῖσα τὴν ἐπίκλησιν ἐκείνην
by the nation names deprived the appellation that
ἐλάμβανεν, ὥσπερ καὶ τῆς Ἑλλάδος ἄλλῃ τε πολλαχῇ
took as also — of-Greece in-other both in-many-places
καὶ περὶ τὴν καλουμένην νῦν Πελοπόννησον ἐγένετο· ἐπὶ
and about the called now Peloponnese happened from
γὰρ ἑνὸς τῶν οἰκούντων ἐν αὐτῇ ἐθνῶν, τοῦ Ἀχαϊκοῦ, καὶ
for one of-the dwelling in it nations the Achaean also
ἡ σύμπασα χερρόνησος, ἐν ᾗ καὶ τὸ Ἀρκαδικὸν καὶ τὸ
the whole peninsula in which both the Arcadian and the
Ἰωνικὸν καὶ ἄλλα συχνὰ ἔθην ἔνεστιν, Ἀχαΐα ὠνομάσθη.
Ionian and other many nations are Achaea was-named

26.1 ὁ δὲ χρόνος ἐν ᾧ τὸ Πελασγικὸν κακοῦσθαι ἤρξατο,
the and time in which the Pelasgian to-be-afflicted began
δευτέρα γενεὰ σχεδὸν πρὸ τῶν Τρωικῶν ἐγένετο· διέτεινε δὲ
second generation nearly before the Trojan-things was it-extended and
καὶ μετὰ τὰ Τρωικά, ἕως εἰς ἐλάχιστον συνεστάλη τὸ ἔθνος.
also after the Trojan-things until to very-small was-reduced the nation
ἔξω γὰρ Κρότωνος τῆς ἐν Ὀμβρικοῖς πόλεως ἀξιολόγου, καὶ
outside for of-Croton the in Umbrians city noteworthy and
εἰ δή τι ἄλλο ἐν τῇ Ἀβοριγίνων οἰκισθὲν ἐτύγχανε, τὰ
if indeed anything other in the of-Aborigines founded happened-to-be the
λοιπὰ τῶν Πελασγῶν διεφθάρη πολίσματα. ἡ δὲ Κρότων
rest of-the Pelasgians were-destroyed small-towns — and Croton
ἄχρι πολλοῦ διαφυλάξασα τὸ παλαιὸν σχῆμα χρόνος οὐ
for long having-preserved the ancient form time not
πολὺς ἐξ οὗ τήν τε ὀνομασίαν καὶ τοὺς οἰκήτορας ἤλλαξε·
long since when the both name and the inhabitants changed
καὶ νῦν ἐστι Ῥωμαίων ἀποικία, καλεῖται δὲ Κορθωνία.
and now is of-Romans a-colony is-called and Corthonia
26.2 οἱ δὲ τῶν ἐκλιπόντων τὴν χώραν Πελασγῶν κατασχόντες
those and of-the having-left the country Pelasgians having-occupied
τὰς πόλεις ἄλλοι τε πολλοὶ ἦσαν, ὡς ἕκαστοί τισιν
the cities others both many were as each with-some
ἔτυχον ὁμοτέρμονας τὰς οἰκήσεις ἔχοντες, καὶ ἐν τοῖς
happened bordering the habitations having and among the
μάλιστα πλείστας τε καὶ ἀρίστας Τυρρηνοί. τοὺς δὲ
most most-numerous both and best Tyrrhenians the and
Τυρρηνοὺς οἱ μὲν αὐτόχθονας Ἰταλίας ἀποφαίνουσιν,
Tyrrhenians some indeed native of-Italy declare
οἱ δὲ ἐπήλυδας· καὶ τὴν ἐπωνυμίαν αὐτοῖς ταύτην οἱ
others but immigrants and the name to-them this those
μὲν αὐθιγενὲς τὸ ἔθνος ποιοῦντες ἐπὶ τῶν ἐρυμάτων, ἃ
indeed native the nation making from the forts which

πρῶτοι τῶν τῇδε οἰκούντων κατεσκευάσαντο, τεθῆναι
first of-those here dwelling they-built to-have-been-given
λέγουσι· τύρσεις γὰρ καὶ παρὰ Τυρρηνοῖς αἱ ἐντείχιοι
say tyrseis for also among Tyrrhenians the walled
καὶ στεγαναὶ οἰκήσεις ὀνομάζονται ὥσπερ παρ᾽ Ἕλλησιν.
and roofed dwellings are-named as among Greeks
ἀπὸ δὴ τοῦ συμβεβηκότος αὐτοῖς ἀξιοῦσι τεθῆναι
from indeed the having-happened to-them they-claim to-have-been-given
τοὔνομα, ὥσπερ καὶ τοῖς ἐν Ἀσίᾳ Μοσυνοίκοις· οἰκοῦσι
the-name as also to-the in Asia Mossynoeci dwell
μὲν γὰρ δὴ κἀκεῖνοι ἐπὶ ξυλίνοις ὡσπεραὶ πύργοις
indeed for indeed they-too on wooden as-it-were towers
ὑψηλοῖς σταυρώμασι, μόσυνας αὐτὰ καλοῦντες.
high palisades mossynes them calling

27–30 · THE TYRRHENIANS

Some say the Tyrrhenians came from Lydia under Tyrrhenus, son of Atys, others, with Hellanicus, that they were Pelasgians renamed. Dionysius judges they are neither: their speech is not the Pelasgians', Xanthus the Lydian knows no such colony, and in language, gods, laws, and customs they differ from the Lydians. They are an ancient native people of Italy, calling themselves Rasenna. The Pelasgians who stayed lived among the Aborigines; their descendants helped found Rome.

οἱ δὲ μετανάστας μυθολογοῦντες αὐτοὺς εἶναι Τυρρηνὸν 27.1
those and immigrants telling-in-myth them to-be Tyrrhenus
ἀποφαίνουσιν ἡγεμόνα τῆς ἀποικίας γενόμενον ἀφ᾽ ἑαυτοῦ
declare leader of-the colony having-been from himself
θέσθαι τῷ ἔθνει τοὔνομα· τοῦτον δὲ Λυδὸν εἶναι τὸ γένος
to-have-given to-the nation the-name him and a-Lydian to-be by race
ἐκ τῆς πρότερον Μηονίας καλουμένης, παλαιὸν δή τινα
from the formerly Maeonia called ancient indeed some

μετανάστην ὄντα· εἶναι δ' αὐτὸν πέμπτον ἀπὸ Διὸς, λέγοντες
immigrant being to-be and him fifth from Zeus saying
ἐκ Διὸς καὶ Γῆς Μάνην γενέσθαι πρῶτον ἐν τῇ γῇ ταύτῃ
from Zeus and Earth Manes to-have-been first in the land this
βασιλέα· τούτου δὲ καὶ Καλλιρόης τῆς Ὠκεανοῦ θυγατρὸς
king of-him and and of-Callirrhoe the of-Ocean daughter
γεννηθῆναι Κότυν· τῷ δὲ Κότυϊ γήμαντι θυγατέρα Τύλλου
to-have-been-born Cotys — and to-Cotys having-married the-daughter of-Tyllus
τοῦ γηγενοῦς Ἁλίην δύο γενέσθαι παῖδας Ἀσίην καὶ Ἄτυν·
the earth-born Halie two to-have-been sons Asies and Atys
27.2 ἐκ δὲ Ἄτυος καὶ Καλλιθέας τῆς Χωραίου Λυδὸν
from and Atys and Callithea the daughter-of-Choraeus Lydus
φῦναι καὶ Τυρρηνόν· καὶ τὸν μὲν Λυδὸν αὐτοῦ
to-have-been-born and Tyrrhenus and — indeed Lydus there
καταμείναντα τὴν πατρῴαν ἀρχὴν παραλαβεῖν καὶ ἀπ' αὐτοῦ
having-remained the ancestral rule to-have-taken-over and from him
Λυδίαν τὴν γῆν ὀνομασθῆναι· Τυρρηνὸν δὲ τῆς ἀποικίας
Lydia the land to-have-been-named Tyrrhenus and of-the colony
ἡγησάμενον πολλὴν κτήσασθαι τῆς Ἰταλίας καὶ τοῖς
having-led much to-have-acquired — of-Italy and to-those
συναραμένοις τοῦ στόλου ταύτην θέσθαι τὴν ἐπωνυμίαν.
having-joined of-the expedition this to-have-given the name
27.3 Ἡροδότῳ δὲ εἴρηνται Ἄτυος τοῦ Μάνεω παῖδες οἱ περὶ
by-Herodotus and are-said of-Atys the son-of-Manes sons those around
Τυρρηνὸν, καὶ ἡ μετανάστασις τῶν Μῃόνων εἰς Ἰταλίαν οὐχ
Tyrrhenus and the migration of-the Maeonians to Italy not
ἑκούσιος. φησὶ γὰρ ἐπὶ τῆς Ἄτυος ἀρχῆς ἀφορίαν καρπῶν ἐν
voluntary he-says for under the of-Atys rule a-dearth of-crops in
τῇ γῇ Μῃόνων γενέσθαι, τοὺς δὲ ἀνθρώπους τέως μὲν
the land of-Maeonians to-have-happened the and men for-a-while indeed
ὑπὸ τῆς φιλοχωρίας κρατουμένους πολλὰ διαμηχανήσασθαι
by the love-of-home held many-things to-have-contrived

πρὸς τὴν συμφορὰν ἀλεξητήρια, τῇ μὲν ἑτέρᾳ τῶν
against the calamity remedies on-the indeed one of-the
ἡμερῶν μέτρια σιτία προσφερομένους, τῇ δ' ἑτέρᾳ
days moderate food taking on-the and other
διακαρτεροῦντας· χρονίζοντος δὲ τοῦ δεινοῦ διανείμαντας
fasting lasting and the evil having-divided
ἅπαντα τὸν δῆμον διχῇ κλήρους ταῖς μοίραις ἐπιβαλεῖν· τὸν
all the people in-two lots on-the parts to-have-cast the-one
μὲν ἐπ' ἐξόδῳ τῆς χώρας, τὸν δ' ἐπὶ μονῇ, καὶ τῶν
indeed for departure from-the country the-other and for staying and of-the
Ἄτυος παίδων τὸν μὲν τῇ προσνεῖμαι, τὸν δὲ τῇ.
of-Atys sons the-one indeed to-the-one to-assign the-other and to-the-other
λαχούσης δὲ τῆς ἅμα Λυδῷ μοίρας τὴν τοῦ μεῖναι τύχην, 27.4
having-drawn and the with Lydus part the of-the staying lot
ἐκχωρῆσαι τὴν ἑτέραν ἀπολαχοῦσαν τῶν χρημάτων
to-depart the other having-received-as-its-lot of-the goods
τὰ μέρη, ὁρμισαμένην δ' ἐπὶ τοῖς ἑσπερίοις μέρεσι
the shares having-anchored and at the western parts
τῆς Ἰταλίας, ἔνθα ἦν Ὀμβρικοῖς ἡ οἴκησις, αὐτοῦ
— of-Italy where was for-Umbrians the dwelling there
καταμείνασαν ἱδρύσασθαι πόλεις τὰς ἔτι καὶ κατ'
having-remained to-have-founded cities the-ones still even in-the-time-of
αὐτὸν ἐκεῖνον οὔσας.
the-very him being
τούτῳ τῷ λόγῳ πολλοὺς καὶ ἄλλους συγγραφεῖς περὶ τοῦ 28.1
this the account many and other historians about the
Τυρρηνῶν γένους χρησαμένους ἐπίσταμαι, τοὺς μὲν κατὰ
of-Tyrrhenians race having-used I-know some indeed in
ταὐτά, τοὺς δὲ μεταθέντας τὸν οἰκισμὸν καὶ τὸν χρόνον.
the-same-way others and having-changed the founding and the time
ἔλεξαν γὰρ δή τινες Ἡρακλέους υἱὸν εἶναι τὸν Τυρρηνὸν ἐξ
said for indeed some of-Heracles son to-be — Tyrrhenus from

Ὀμφάλης τῆς Λυδῆς γενόμενον· τοῦτον δ' ἀφικόμενον εἰς
Omphale the Lydian born him and having-come to
Ἰταλίαν ἐκβαλεῖν τοὺς Πελασγοὺς ἐκ τῶν πόλεων οὐχ
Italy to-have-driven-out the Pelasgians from the cities not
ἁπασῶν, ἀλλ' ὅσαι πέραν ἦσαν τοῦ Τεβέριος ἐν τῷ βορείῳ
all but as-many-as beyond were the Tiber in the northern
μέρει. ἕτεροι δὲ Τηλέφου παῖδα τὸν Τυρρηνὸν ἀποφαίνουσιν,
part others and of-Telephus son — Tyrrhenus declare
ἐλθεῖν δὲ μετὰ τὴν Τροίας ἅλωσιν εἰς Ἰταλίαν.
to-have-come and after the of-Troy capture to Italy
28.2 Ξάνθος δὲ ὁ Λυδὸς ἱστορίας παλαιᾶς εἰ καί τις ἄλλος
Xanthus but the Lydian of-history ancient if indeed any other
ἔμπειρος ὤν, τῆς δὲ πατρίου καὶ βεβαιωτὴς ἂν οὐδενὸς
skilled being of-the and native also an-authority — to-no-one
ὑποδεέστερος νομισθείς, οὔτε Τυρρηνὸν ὠνόμακεν οὐδαμοῦ
inferior would-be-thought neither Tyrrhenus has-named anywhere
τῆς γραφῆς δυνάστην Λυδῶν οὔτε ἀποικίαν Μηόνων εἰς
in-the writing a-ruler of-Lydians nor a-colony of-Maeonians to
Ἰταλίαν κατασχοῦσαν ἐπίσταται Τυρρηνίας τε μνήμην
Italy having-landed knows of-Tyrrhenia both mention
ὡς Λυδῶν ἀποκτίσεως ταπεινοτέρων ἄλλων μεμνημένος
as of-Lydians a-colony humbler others having-mentioned
οὐδεμίαν πεποίηται· Ἄτυος δὲ παῖδας γενέσθαι λέγει Λυδὸν
none has-made of-Atys and sons to-have-been says Lydus
καὶ Τόρηβον, τούτους δὲ μερισαμένους τὴν πατρῴαν ἀρχὴν
and Torebus these and having-divided the ancestral rule
ἐν Ἀσίᾳ καταμεῖναι ἀμφοτέρους· καὶ τοῖς ἔθνεσιν ὧν ἦρξαν
in Asia to-have-remained both and to-the nations which they-ruled
ἐπ' ἐκείνων φησὶ τεθῆναι τὰς ὀνομασίας, λέγων ὧδε·
from them he-says to-have-been-given the names saying thus
"ἀπὸ Λυδοῦ μὲν γίνονται Λυδοί, ἀπὸ Τορήβου δὲ Τόρηβοι.
from Lydus indeed arise Lydians from Torebus and Torebians

τούτων ἡ γλῶσσα ὀλίγον παραφέρει, καὶ νῦν ἔτι σιλλοῦσιν
of-these the language a-little differs and now still they-mock
ἀλλήλους ῥήματα οὐκ ὀλίγα, ὥσπερ Ἴωνες καὶ Δωριεῖς”.
one-another words not few as Ionians and Dorians
Ἑλλάνικος δὲ ὁ Λέσβιος τοὺς Τυρρηνούς φησι Πελασγοὺς 28.3
Hellanicus and the Lesbian the Tyrrhenians says Pelasgians
πρότερον καλουμένους, ἐπειδὴ κατῴκησαν ἐν Ἰταλίᾳ,
before called when they-settled in Italy
παραλαβεῖν ἣν νῦν ἔχουσι προσηγορίαν. ἔχει δὲ αὐτῷ
to-have-taken-on which now they-have name has and by-him
ἐν Φορωνίδι ὁ λόγος ὧδε· “τοῦ Πελασγοῦ τοῦ βασιλέος
in Phoronis the account thus — of-Pelasgus the king
αὐτῶν καὶ Μενίππης τῆς Πηνειοῦ ἐγένετο Φράστωρ,
their and of-Menippe the daughter-of-Peneus was-born Phrastor
τοῦ δὲ Ἀμύντωρ, τοῦ δὲ Τευταμίδης, τοῦ δὲ Νάνας. ἐπὶ
of-him and Amyntor of-him and Teutamides of-him and Nanas under
τούτου βασιλεύοντος οἱ Πελασγοὶ ὑπ’ Ἑλλήνων ἀνέστησαν,
him reigning the Pelasgians by Greeks were-driven-out
καὶ ἐπὶ Σπινῆτι ποταμῷ ἐν τῷ Ἰονίῳ κόλπῳ τὰς νῆας
and on Spines river in the Ionian gulf the ships
καταλιπόντες Κρότωνα πόλιν ἐν μεσογείῳ εἷλον καὶ
having-left Croton a-city in the-interior took and
ἐντεῦθεν ὁρμώμενοι τὴν νῦν καλεομένην Τυρσηνίην ἔκτισαν”.
from-there setting-out the now called Tyrsenia founded
Μυρσίλος δὲ τὰ ἔμπαλιν ἀποφαινόμενος Ἑλλανίκῳ τοὺς 28.4
Myrsilus and the opposite declaring to-Hellanicus the
Τυρρηνούς φησιν, ἐπειδὴ τὴν ἑαυτῶν ἐξέλιπον, ἐν τῇ
Tyrrhenians says when the their-own they-left in the
πλάνῃ μετονομασθῆναι Πελαργοὺς, τῶν ὀρνέων τοῖς
wandering to-have-been-renamed Pelargoi of-the birds to-the
καλουμένοις πελαργοῖς εἰκασθέντας, ὡς κατ’ ἀγέλας
called storks likened because in flocks

ἐφοίτων εἴς τε τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον· καὶ
they-went-about to both — Greece and the barbarian-land and
τοῖς Ἀθηναίοις τὸ τεῖχος τὸ περὶ τὴν ἀκρόπολιν, τὸ
for-the Athenians the wall the around the acropolis the
Πελαργικὸν καλούμενον, τούτους περιβαλεῖν.
Pelargic called these to-have-built

29.1 ἐμοὶ μέντοι δοκοῦσιν ἅπαντες ἁμαρτάνειν οἱ πεισθέντες
to-me however seem all to-err those having-been-persuaded
ἓν καὶ τὸ αὐτὸ ἔθνος εἶναι τὸ Τυρρηνικὸν καὶ τὸ
one and the same nation to-be the Tyrrhenian and the
Πελασγικόν. τῆς μὲν γὰρ ὀνομασίας ἀπολαῦσαί ποτε
Pelasgian of-the indeed for name to-have-shared ever
αὐτοὺς τῆς ἀλλήλων οὐδὲν θαυμαστὸν ἦν, ἐπεὶ καὶ ἄλλα
them of-the each-other nothing wonderful was since also other
δή τινα ἔθνη, τὰ μὲν Ἑλλήνων, τὰ δὲ βαρβάρων, ταὐτὸν
indeed some nations some indeed of-Greeks others and of-barbarians the-same
ἔπαθεν, ὥσπερ τὸ Τρωικὸν καὶ τὸ Φρυγικὸν ἀγχοῦ οἰκοῦντα
experienced as the Trojan and the Phrygian near dwelling
ἀλλήλων· (πολλοῖς γέ τοι γένος ἓν ἄμφω ταῦτ' ἐνομίσθη,
one-another to-many at-least indeed race one both these were-thought
κλήσει διαλλάττον οὐ φύσει) καὶ οὐχ ἥκιστα τῶν ἄλλοθί
in-name differing not in-nature and not least of-the elsewhere
που συνωνυμίαις ἐπικερασθέντων καὶ τὰ ἐν Ἰταλίᾳ ἔθνη.
somewhere by-identity-of-names having-been-confounded also the in Italy nations

29.2 ἦν γὰρ δὴ χρόνος ὅτε καὶ Λατῖνοι καὶ Ὀμβρικοὶ
there-was for indeed a-time when both Latins and Umbrians
καὶ Αὔσονες καὶ συχνοὶ ἄλλοι Τυρρηνοὶ ὑφ' Ἑλλήνων
and Ausonians and many others Tyrrhenians by Greeks
ἐλέγοντο, τῆς διὰ μακροῦ τῶν ἐθνῶν οἰκήσεως ἀσαφῆ
were-called the through distance of-the nations habitation unclear
ποιούσης τοῖς πρόσω τὴν ἀκρίβειαν· τήν τε Ῥώμην
making to-those far-off the exactness — both Rome

αὐτὴν πολλοὶ τῶν συγγραφέων Τυρρηνίδα πόλιν εἶναι
itself many of-the historians a-Tyrrhenian city to-be
ὑπέλαβον. ὀνομάτων μὲν οὖν ἐναλλαγήν, ἐπεὶ καὶ
supposed of-names indeed then interchange since also
βίων, πείθομαι τοῖς ἔθνεσι γενέσθαι· κοινοῦ δὲ ἄμφω
of-lives I-am-persuaded for-the nations to-have-happened common but both
μετειληφέναι γένους οὐ πείθομαι, πολλοῖς τε ἄλλοις καὶ
to-have-shared race not I-am-persuaded with-many both other-things and
μάλιστα ταῖς φωναῖς αὐτῶν διηλλαγμέναις καὶ οὐδεμίαν
most by-the languages their differing and no
ὁμοιότητα σωζούσαις τεκμαιρόμενος.
likeness preserving judging
"καὶ γὰρ δὴ οὔτε Κροτωνιῆται" ὥς φησιν Ἡρόδοτος 29.3
and for indeed neither Crotoniates as says Herodotus
"οὐδαμοῖσι τῶν νῦν σφεας περιοικεόντων εἰσὶν ὁμόγλωσσοι
to-none of-the now them dwelling-around are of-one-tongue
οὔτε Πλακιηνοί, σφίσι δ' ὁμόγλωσσοι. δηλοῦσι δὲ ὅτι,
nor Placians with-each-other but of-one-tongue they-show and that
τὸν ἠνείκαντο γλώσσης χαρακτῆρα μεταβαίνοντες ἐς ταῦτα
the they-brought of-language character having-moved into these
τὰ χωρία, τοῦτον ἔχουσιν ἐν φυλακῇ". καίτοι θαυμάσειεν ἄν
the places this they-have in keeping and-yet would-wonder —
τις, εἰ Πλακιανοῖς μὲν τοῖς περὶ τὸν Ἑλλήσποντον οἰκοῦσιν
someone if with-Placians indeed those about the Hellespont dwelling
ὁμοίαν διάλεκτον εἶχον οἱ Κροτωνιᾶται, ἐπειδὴ Πελασγοὶ
like dialect had the Crotoniates since Pelasgians
ἦσαν ἀμφότεροι ἀρχῆθεν, Τυρρηνοῖς δὲ τοῖς ἔγγιστα
were both from-the-beginning with-Tyrrhenians but those nearest
οἰκοῦσι μηδὲν ὁμοίαν. εἰ γὰρ τὸ συγγενὲς τῆς ὁμοφωνίας
dwelling in-nothing like if for the kinship of-the sameness-of-speech
αἴτιον ὑποληπτέον, θάτερον δή που τῆς διαφωνίας·
the-cause must-be-supposed the-other indeed surely of-the difference-of-speech

29.4 οὐ γὰρ δὴ κατά γε τὸ αὐτὸ ἐγχωρεῖ νομίζειν
not for indeed by at-least the same it-is-possible to-believe
τἀμφότερα. καὶ γὰρ δὴ τὸ μὲν ἕτερον καὶ λόγον τιν᾽
both-things and for indeed the indeed one also reason some
ἂν εἶχε γενόμενον, τὸ δὴ τοὺς πρόσω τὰς οἰκήσεις
— would-have happening the indeed the far-off the habitations
ἀπ᾽ ἀλλήλων ποιησαμένους ὁμοεθνεῖς μηκέτι διασώζειν
from one-another having-made of-the-same-nation no-longer to-preserve
τὸν αὐτὸν τῆς διαλέκτου χαρακτῆρα διὰ τὰς πρὸς
the same of-the dialect character because-of the with
τοὺς πέλας ὁμιλίας· τὸ δὲ τοὺς ἐν τοῖς αὐτοῖς οἰκοῦντας
the neighbors associations the but the in the same dwelling
χωρίοις μηδ᾽ ὁτιοῦν κατὰ τὴν φωνὴν ἀλλήλοις
places not-even in-anything in the speech with-one-another
ὁμολογεῖν ἐκ ταὐτοῦ φύντας γένους οὐδένα λόγον ἔχει.
to-agree from the-same sprung race no reason has
30.1 τούτῳ μὲν δὴ τῷ τεκμηρίῳ χρώμενος ἑτέρους εἶναι
this indeed indeed the proof using different to-be
πείθομαι τῶν Τυρρηνῶν τοὺς Πελασγούς. οὐ μὲν δὴ
I-am-persuaded than-the Tyrrhenians the Pelasgians not indeed indeed
οὐδὲ Λυδῶν τοὺς Τυρρηνοὺς ἀποίκους οἶμαι γενέσθαι·
even of-Lydians the Tyrrhenians colonists I-think to-have-been
οὐδὲ γὰρ ἐκείνοις ὁμόγλωσσοί εἰσιν, οὐδ᾽ ἔστιν εἰπεῖν
nor for with-them of-one-tongue are nor is-it-possible to-say
ὡς φωνῇ μὲν οὐκέτι χρῶνται παραπλησίᾳ, ἄλλα δέ
that a-language indeed no-longer they-use similar other but
τινα διασώζουσι τῆς μητροπόλεως μηνύματα. οὔτε γὰρ
some they-preserve of-the mother-city tokens neither for
θεοὺς Λυδοῖς τοὺς αὐτοὺς νομίζουσιν οὔτε νόμοις οὔτ᾽
gods with-Lydians the same they-believe nor laws nor

ἐπιτηδεύμασι κέχρηνται παραπλησίοις, ἀλλὰ κατά γε
practices use similar but by at-least
ταῦτα πλέον Λυδῶν διαφέρουσιν ἢ Πελασγῶν.
these-things more from-Lydians they-differ than from-Pelasgians
κινδυνεύουσι γὰρ τοῖς ἀληθέσι μᾶλλον ἐοικότα λέγειν 30.2
are-likely for to-the truth more like-things to-say
οἱ μηδαμόθεν ἀφιγμένον, ἀλλ' ἐπιχώριον τὸ ἔθνος
those from-nowhere having-come but native the nation
ἀποφαίνοντες, ἐπειδὴ ἀρχαῖόν τε πάνυ καὶ οὐδενὶ ἄλλῳ
declaring since ancient both very and to-no other
γένει οὔτε ὁμόγλωσσον οὔτε ὁμοδίαιτον ὂν εὑρίσκεται.
race either of-one-tongue or of-one-way-of-life being it-is-found
ὠνομάσθαι δ' ὑφ' Ἑλλήνων αὐτὸ τῇ προσηγορίᾳ
to-have-been-named and by Greeks it by-the name
ταύτῃ οὐδὲν κωλύει, καὶ διὰ τὰς ἐν ταῖς τύρσεσιν
this nothing prevents both because-of the in the towers
οἰκήσεις καὶ ἀπ' ἀνδρὸς δυνάστου.
dwellings and from a-man ruler
Ῥωμαῖοι μέντοι ἄλλαις αὐτὸ προσαγορεύουσιν ὀνομασίαις· 30.3
Romans however with-other it call names
καὶ γὰρ ἐπὶ τῆς χώρας, ἐν ᾗ ποτε ᾤκησαν, Ἑτρουρίας
and for from the country in which once they-dwelt Etruria
προσαγορευομένης Ἑτρούσκους καλοῦσι τοὺς ἀνθρώπους·
called Etruscans they-call the men
καὶ ἐπὶ τῆς ἐμπειρίας τῶν περὶ τὰ θεῖα σεβάσματα
and from the skill in-the about the divine worship
λειτουργιῶν, διαφέροντας εἰς αὐτὴν ἑτέρων, νῦν μὲν
services excelling in it others now indeed
Τούσκους ἀσαφέστερον, πρότερον δ' ἀκριβοῦντες τοὔνομα
Tusci more-obscurely formerly but exactly-giving the-name
ὥσπερ Ἕλληνες Θυοσκόους ἐκάλουν· αὐτοὶ μέντοι σφᾶς
as Greeks Thyoscoi they-called themselves however them

αὐτοὺς ἐπὶ τῶν ἡγεμόνων τινὸς Ῥασέννα τὸν αὐτὸν
themselves after of-the leaders one Rasenna the same
ἐκείνῳ τρόπον ὀνομάζουσι.
as-him way name

30.4 πόλεις δὲ ἅστινας ᾤκισαν οἱ Τυρρηνοὶ, καὶ πολιτευμάτων
cities and which founded the Tyrrhenians and of-polities
οὕστινας κατεστήσαντο κόσμους, δύναμίν τε ὁπόσην οἱ
what they-established forms power both how-much the
σύμπαντες καὶ ἔργα εἴ τινα μνήμης ἄξια διεπράξαντο,
all-together and deeds if any of-memory worthy they-accomplished
τύχαις τε ὁποίαις ἐχρήσαντο, ἐν ἑτέρῳ δηλωθήσεται λόγῳ.
fortunes both what-kind they-met in another will-be-shown book

30.5 τὸ δ' οὖν Πελασγικὸν φῦλον, ὅσον μὴ διεφθάρη τε
the but then Pelasgian tribe as-much-as not was-destroyed both
καὶ κατὰ τὰς ἀποικίας διεσπάσθη, διέμεινε δὲ ὀλίγον ἀπὸ
and through the colonies was-scattered remained and little from
πολλοῦ, μετὰ τῶν Ἀβοριγίνων πολιτευόμενον ἐν τούτοις
much with the Aborigines living-as-fellow-citizens in these
ὑπελείφθη τοῖς χωρίοις, ὅπου σὺν χρόνῳ τὴν Ῥώμην οἱ
was-left the places where with time — Rome the
ἔκγονοι αὐτῶν σὺν τοῖς ἄλλοις ἐπολίσαντο. καὶ τὰ μὲν
descendants their with the others founded and the-things indeed
ὑπὲρ τοῦ Πελασγικοῦ γένους μυθολογούμενα τοιάδε ἐστί.
about the Pelasgian race told-in-myth such are

About sixty years before the Trojan War Evander led Arcadians from Pallantium, a faction worsted at home, guided by his mother, the prophetess the Romans call Carmenta. Faunus, king of the Aborigines, gave them land, and on a hill by the Tiber they built a village, Pallantium, now Palatium. They founded a shrine of Pan at the Lupercal, a precinct of Victory, rites of Demeter, and the worship of Poseidon Hippios, and brought the Aborigines Greek letters, music, and laws.

μετὰ δὲ οὐ πολὺν χρόνον στόλος ἄλλος Ἑλληνικὸς 31.1
after and not much time expedition another Greek
εἰς ταῦτα τὰ χωρία τῆς Ἰταλίας κατάγεται, ἑξηκοστῷ
to these the places — of-Italy is-brought-in in-the-sixtieth
μάλιστα ἔτει πρότερον τῶν Τρωικῶν, ὡς αὐτοὶ Ῥωμαῖοι
about year before the Trojan-things as themselves Romans
λέγουσιν, ἐκ Παλλαντίου πόλεως Ἀρκαδικῆς ἀναστάς.
say from Pallantium city Arcadian having-set-out
ἡγεῖτο δὲ τῆς ἀποικίας Εὔανδρος Ἑρμοῦ λεγόμενος καὶ
led and the colony Evander of-Hermes said and
νύμφης τινὸς Ἀρκάσιν ἐπιχωρίας, ἣν οἱ μὲν Ἕλληνες
of-a-nymph some for-Arcadians native whom the indeed Greeks
Θέμιν εἶναι λέγουσι καὶ θεοφόρητον ἀποφαίνουσιν, οἱ δὲ
Themis to-be say and inspired declare the and
τὰς Ῥωμαϊκὰς συγγράψαντες ἀρχαιολογίας τῇ πατρίῳ
the Roman having-written antiquities in-the ancestral
γλώσσῃ Καρμέντην ὀνομάζουσιν· εἴη δ’ ἂν Ἑλλάδι
tongue Carmenta name would-be and — in-Greek
φωνῇ Θεσπιῳδὸς τῇ νύμφῃ τοὔνομα· τὰς μὲν γὰρ
speech Thespiodos to-the nymph the-name the indeed for
ᾠδὰς καλοῦσι Ῥωμαῖοι κάρμινα, τὴν δὲ γυναῖκα ταύτην
songs call Romans carmina the and woman this

ὁμολογοῦσι δαιμονίῳ πνεύματι κατάσχετον γενομένην τὰ
they-agree by-divine spirit possessed having-become the-things
μέλλοντα συμβαίνειν τῷ πλήθει δι᾽ ᾠδῆς προλέγειν.
going to-befall the multitude through song to-foretell

31.2 ὁ δὲ στόλος οὗτος οὐκ ἀπὸ τοῦ κοινοῦ τῆς γνώμης
the and expedition this not from the commonwealth of-the decision
ἐπέμφθη, ἀλλὰ στασιάσαντος τοῦ δήμου τὸ ἐλαττωθὲν
was-sent but having-been-at-odds the people the worsted
μέρος ἑκούσιον ὑπεξῆλθεν. ἐτύγχανε δὲ τότε τὴν βασιλείαν
part voluntarily withdrew happened and then the kingship
τῶν Ἀβοριγίνων παρειληφὼς Φαῦνος, Ἄρεος ὥς φασιν
of-the Aborigines having-received Faunus of-Ares as they-say
ἀπόγονος, ἀνὴρ μετὰ τοῦ δραστηρίου καὶ συνετὸς, καὶ
a-descendant a-man with the energetic also prudent and
αὐτὸν ὡς τῶν ἐπιχωρίων τινὰ Ῥωμαῖοι δαιμόνων θυσίαις
him as of-the native some Romans divinities with-sacrifices
καὶ ᾠδαῖς γεραίρουσιν. οὗτος ὁ ἀνὴρ δεξάμενος κατὰ
and songs honor this the man having-received with
πολλὴν φιλότητα τοὺς Ἀρκάδας ὀλίγους ὄντας, δίδωσιν
much friendship the Arcadians few being gives
αὐτοῖς τῆς αὑτοῦ χώρας ὁπόσην ἐβούλοντο.
them of-the his-own country as-much-as they-wished

31.3 οἱ δὲ Ἀρκάδες, ὡς ἡ Θέμις αὐτοῖς ἐπιθειάζουσα ἔφραζεν,
the and Arcadians as — Themis to-them prophesying told
αἱροῦνται λόφον ὀλίγον ἀπέχοντα τοῦ Τεβέριος, ὅς
choose a-hill a-little distant from-the Tiber which
ἐστι νῦν ἐν μέσῳ μάλιστα τῆς Ῥωμαίων πόλεως,
is now in middle about of-the of-Romans city
καὶ κατασκευάζονται πρὸς αὐτῷ κώμην βραχεῖαν, δυσὶ
and build by it a-village small for-two
ναυτικοῖς πληρώμασιν ἐν οἷς ἀπανέστησαν τῆς Ἑλλάδος
ships' crews in which they-departed — from-Greece

ἀποχρῶσαν, ἣν ἔμελλε τὸ πεπρωμένον σὺν χρόνῳ θήσειν
sufficient which was-going the destined in time to-make
ὅσην οὔθ' Ἑλλάδα πόλιν οὔτε βάρβαρον κατά τε
so-great-as neither Greek city nor barbarian in both
οἰκήσεως μέγεθος καὶ κατὰ δυναστείας ἀξίωσιν καὶ τὴν
of-habitation greatness and in of-power dignity and the
ἄλλην ἅπασαν εὐτυχίαν, χρόνον τε ὁπόσον ἂν ὁ θνητὸς
other all prosperity time both as-long-as — the mortal
αἰὼν ἀντέχῃ πόλεων μάλιστα πασῶν μνημονευθησομένην.
age lasts of-cities most of-all going-to-be-remembered
ὄνομα δὲ τῷ πολίσματι τούτῳ τίθενται Παλλάντιον ἐπὶ 31.4
name and to-the small-town this they-give Pallantium after
τῆς ἐν Ἀρκαδίᾳ σφῶν μητροπόλεως· νῦν μέντοι Παλάτιον
the in Arcadia their mother-city now however Palatium
ὑπὸ Ῥωμαίων λέγεται συγχέαντος τοῦ χρόνου τὴν ἀκρίβειαν
by Romans is-called having-confounded the time the exactness
καὶ παρέχει πολλοῖς ἀτόπων ἐτυμολογιῶν ἀφορμάς·
and affords to-many of-absurd etymologies occasions
ὡς δέ τινες ἱστοροῦσιν, ὧν ἐστι καὶ Πολύβιος ὁ 32.1
as but some relate among-whom is also Polybius the
Μεγαλοπολίτης, ἐπί τινος μειρακίου Πάλλαντος αὐτόθι
Megalopolitan after some youth Pallas there
τελευτήσαντος· τοῦτον δὲ Ἡρακλέους εἶναι παῖδα καὶ
having-died him and of-Heracles to-be son and
Λαύνας τῆς Εὐάνδρου θυγατρός· χώσαντα δ' αὐτῷ τὸν
of-Launa the of-Evander daughter having-heaped-up and for-him the
μητροπάτορα τάφον ἐπὶ τῷ λόφῳ Παλλάντιον ἐπὶ τοῦ
maternal-grandfather a-tomb on the hill Pallantium after the
μειρακίου τὸν τόπον ὀνομάσαι.
youth the place to-have-named

32.2 ἐγὼ μέντοι οὔτε τάφον ἐθεασάμην ἐν Ῥώμῃ Πάλλαντος
I however neither tomb saw in Rome of-Pallas
οὔτε χοὰς ἔμαθον ἐπιτελουμένας οὔτε ἄλλο τῶν
nor libations learned being-performed nor other of-the
τοιουτοτρόπων οὐδὲν ἠδυνήθην ἰδεῖν, καίτοι γε οὐκ
such-kind anything could to-see and-yet at-least not
ἀμνήστου τῆς οἰκίας ταύτης ἀφειμένης οὐδ' ἀμοίρου τιμῶν
unremembered the house this having-been-left nor without-share of-honors
αἷς τὸ δαιμόνιον γένος ὑπ' ἀνθρώπων γεραίρεται. καὶ
with-which the divine race by men is-honored and
γὰρ Εὐάνδρῳ θυσίας ἔμαθον ὑπὸ Ῥωμαίων ἐπιτελουμένας
for to-Evander sacrifices I-learned by Romans being-performed
ὁσέτη δημοσίᾳ καὶ Καρμέντῃ, καθάπερ τοῖς λοιποῖς
every-year publicly and to-Carmenta as to-the other
ἥρωσι καὶ δαίμοσι, καὶ βωμοὺς ἐθεασάμην ἱδρυμένους,
heroes and divinities and altars I-saw founded
Καρμέντῃ μὲν ὑπὸ τῷ καλουμένῳ Καπιτωλίῳ παρὰ ταῖς
to-Carmenta indeed under the called Capitol by the
Καρμεντίσι πύλαις, Εὐάνδρῳ δὲ πρὸς ἑτέρῳ τῶν λόφων
Carmental gates to-Evander and on another of-the hills
Αὐεντίνῳ λεγομένῳ τῆς Τριδύμου πύλης οὐ πρόσω·
Aventine called of-the Trigemina gate not far
32.3 Πάλλαντι δὲ οὐδὲν οἶδα τούτων γινόμενον. οἱ δ' οὖν Ἀρκάδες
to-Pallas but nothing I-know of-these being-done the but then Arcadians
ὑπὸ τῷ λόφῳ συνοικισθέντες τά τε ἄλλα διεκόσμουν τὸ
under the hill having-settled-together the both other-things ordered the
κτίσμα τοῖς οἴκοθεν νομίμοις χρώμενοι καὶ ἱερὰ ἱδρύονται,
foundation the from-home customs using and temples found
πρῶτον μὲν τῷ Λυκαίῳ Πανὶ τῆς Θέμιδος ἐξηγουμένης
first indeed to-the Lycaean Pan — Themis directing
(Ἀρκάσι γὰρ θεῶν ἀρχαιότατός τε καὶ τιμιώτατος ὁ
to-Arcadians for of-gods oldest both and most-honored —

Πάν) χωρίον ἐξευρόντες ἐπιτήδειον, ὃ καλοῦσι Ῥωμαῖοι
Pan a-place having-found suitable which call Romans
Λουπερκάλιον, ἡμεῖς δ' ἂν εἴποιμεν Λύκαιον.
Lupercal we and — might-say Lycaeum
νῦν μὲν οὖν συμπεπολισμένων τῷ τεμένει τῶν πέριξ 32.4
now indeed then having-been-built-up-together with-the precinct of-the around
χωρίων δυσείκαστος γέγονεν ἡ παλαιὰ τοῦ τόπου φύσις,
places hard-to-make-out has-become the ancient of-the place nature
ἦν δὲ τὸ ἀρχαῖον ὡς λέγεται σπήλαιον ὑπὸ τῷ λόφῳ
was and the of-old as is-said a-cave under the hill
μέγα, δρυμῷ λασίῳ κατηρεφές, καὶ κρηνίδες ὑπὸ ταῖς
great by-a-thicket dense overhung and springs under the
πέτραις ἐμβύθιοι, ἥ τε προσεχὴς τῷ κρημνῷ νάπη
rocks deep-lying the both adjoining the cliff glen
πυκνοῖς καὶ μεγάλοις δένδρεσιν ἐπίσκιος.
with-dense and great trees shaded
ἔνθα βωμὸν ἱδρυσάμενοι τῷ θεῷ τὴν πάτριον θυσίαν 32.5
there an-altar having-founded to-the god the ancestral sacrifice
ἐπετέλεσαν, ἣν μέχρι τοῦ καθ' ἡμᾶς χρόνου Ῥωμαῖοι
performed which until the in our time Romans
θύουσιν ἐν μηνὶ Φεβρουαρίῳ μετὰ τὰς χειμερίους τροπάς,
offer in month February after the winter solstice
οὐδὲν τῶν τότε γενομένων μετακινοῦντες· ὁ δὲ τρόπος
nothing of-the-things then done changing the and manner
τῆς θυσίας ἐν τοῖς ἔπειτα λεχθήσεται. ἐπὶ δὲ τῇ κορυφῇ
of-the sacrifice in the following-parts will-be-told on and the summit
τοῦ λόφου τὸ τῆς Νίκης τέμενος ἐξελόντες θυσίας καὶ ταύτῃ
of-the hill the — of-Victory precinct having-set-apart sacrifices also to-her
κατεστήσαντο διετησίους, ἃς καὶ ἐπ' ἐμοῦ Ῥωμαῖοι ἔθυον.
established yearly which also in my-time Romans offered

33.1 ταύτην δὲ Ἀρκάδες μυθολογοῦσι Πάλλαντος εἶναι θυγατέρα
her and Arcadians tell-in-myth of-Pallas to-be daughter
τοῦ Λυκάονος· τιμὰς δὲ παρ᾽ ἀνθρώπων ἃς ἔχει νῦν
the son-of-Lycaon honors and from men which she-has now
Ἀθηνᾶς βουλήσει λαβεῖν, γενομένην τῆς θεοῦ σύντροφον.
of-Athena by-the-will to-have-received having-been of-the goddess companion
δοθῆναι γὰρ εὐθὺς ἀπὸ γονῆς τὴν Ἀθηνᾶν Πάλλαντι
to-have-been-given for at-once from birth — Athena to-Pallas
ὑπὸ Διὸς καὶ παρ᾽ ἐκείνῳ τέως εἰς ὥραν ἀφίκετο
by Zeus and with him until to maturity she-came
τραφῆναι. ἱδρύσαντο δὲ καὶ Δήμητρος ἱερὸν καὶ τὰς
to-have-been-reared they-founded and also of-Demeter a-temple and the
θυσίας αὐτῇ διὰ γυναικῶν τε καὶ νηφαλίους ἔθυσαν, ὡς
sacrifices to-her through women both and wineless sacrificed as
Ἕλλησι νόμος, ὧν οὐδὲν ὁ καθ᾽ ἡμᾶς ἤλλαξε χρόνος.
for-Greeks custom-is of-which nothing the in our changed time
33.2 ἀπέδειξαν δὲ καὶ Ποσειδῶνι τέμενος Ἱππίῳ καὶ τὴν
they-dedicated and also to-Poseidon a-precinct Hippius and the
ἑορτὴν Ἱπποκράτεια μὲν ὑπ᾽ Ἀρκάδων, Κωνσουάλια δὲ
festival Hippocrateia indeed by Arcadians Consualia but
ὑπὸ Ῥωμαίων λεγόμενα κατεστήσαντο, ἐν ᾗ παρὰ
by Romans called established in which among
Ῥωμαίοις ἐξ ἔθους ἐλινύουσιν ἔργων ἵπποι καὶ ὀρεῖς
Romans from custom rest from-work horses and mules
καὶ στέφονται τὰς κεφαλὰς ἄνθεσι.
and are-crowned the heads with-flowers
33.3 πολλὰ δὲ καὶ ἄλλα τεμένη καὶ βωμοὺς καὶ βρέτη
many and also other precincts and altars and images
θεῶν καθωσίωσαν, ἁγισμούς τε καὶ θυσίας κατεστήσαντο
of-gods they-consecrated purifications both and sacrifices established
πατρίους, αἳ μέχρι τῶν κατ᾽ ἐμὲ χρόνων τὸν αὐτὸν
ancestral which until the in my times the same

ἐγίνοντο τρόπον. οὐ θαυμάσαιμι δ' ἂν εἰ καὶ παρεῖνταί
were-performed way not I-would-wonder and — if also have-been-omitted
τινες διαφυγοῦσαι τὴν τῶν ἐπιγινομένων μνήμην ὑπὸ τοῦ
some having-escaped the of-the later-generations memory through the
πάνυ ἀρχαίου· ἀλλ' ἀποχρῶσί γε αἱ νῦν ἔτι γινόμεναι
very ancient but suffice at-least the now still being-performed
τεκμήρια εἶναι τῶν Ἀρκαδικῶν ποτε νομίμων· λεχθήσεται
proofs to-be of-the Arcadian once customs will-be-said
δὲ περὶ αὐτῶν ἐπὶ πλεῖον ἐν ἑτέροις.
and about them at more-length in other-books
λέγονται δὲ καὶ γραμμάτων Ἑλληνικῶν χρῆσιν εἰς Ἰταλίαν 33.4
are-said and also of-letters Greek the-use to Italy
πρῶτοι διακομίσαι νεωστὶ φανεῖσαν Ἀρκάδες καὶ μουσικὴν
first to-have-brought lately having-appeared Arcadians and music
τὴν δι' ὀργάνων, ἃ δὴ λύραι τε καὶ τρίγωνα καὶ αὐλοὶ
the through instruments which indeed lyres both and triangles and pipes
καλοῦνται, τῶν προτέρων ὅτι μὴ σύριγξι ποιμενικαῖς οὐδενὶ
are-called the earlier except for panpipes pastoral no
ἄλλῳ μουσικῆς τεχνήματι χρωμένων, νόμους τε θέσθαι καὶ
other of-music instrument using laws both to-have-made and
τὴν δίαιταν ἐκ τοῦ θηριώδους ἐπὶ πλεῖστον εἰς ἡμερότητα
the way-of-life from the bestial to the-furthest into civilization
μεταγαγεῖν τέχνας τε καὶ ἐπιτηδεύματα καὶ ἄλλα πολλά τινα
to-have-changed arts both and practices and other many some
ὠφελήματα εἰς τὸ κοινὸν καταθεῖναι, καὶ διὰ ταῦτα
benefits for the common to-have-contributed and because-of these-things
πολλῆς ἐπιμελείας τυγχάνειν πρὸς τῶν ὑποδεξαμένων.
much care to-obtain from those having-received-them

33.5 τοῦτο δεύτερον ἔθνος Ἑλληνικὸν μετὰ Πελασγοὺς
this second nation Greek after Pelasgians
ἀφικόμενον εἰς Ἰταλίαν κοινὴν ἔσχε μετὰ τῶν Ἀβοριγίνων
having-come into Italy common had with the Aborigines
οἴκησιν ἐν τῷ κρατίστῳ τῆς Ῥώμης ἱδρυσάμενον χωρίῳ.
habitation in the best — of-Rome having-settled place

34–38 · HERACLES AND THE SATURNIAN HILL

A few years after the Arcadians, Heracles came to Italy with a Greek army, and some of his men, most of them Pheneats and Epeans from the Peloponnese, with Trojan captives, stayed behind on the Saturnian hill, now the Capitoline. Some say the Epeans named it after the Cronian hill at Elis, but Dionysius holds that the hill, and all Italy, was sacred to Saturn before Heracles came, and he gives Italy's names from the ruler Italus or from the calf Heracles pursued. He praises Italy as the best of lands, rich in grain, wine, olives, pasture, timber, water, hot springs, and mines, and tempered in climate, so that the ancients rightly held it Saturn's; Heracles replaced the human sacrifices once offered to Saturn with images thrown into the Tiber.

34.1 ὀλίγοις δ' ὕστερον ἔτεσι μετὰ τοὺς Ἀρκάδας ἄλλος
by-few and later years after the Arcadians another
εἰς Ἰταλίαν ἀφικνεῖται στόλος Ἑλληνικὸς ἄγοντος
to Italy arrives expedition Greek leading
Ἡρακλέους, ὃς Ἰβηρίαν καὶ τὰ μέχρι δυσμῶν ἡλίου
Heracles who Iberia and the-lands as-far-as settings of-the-sun
πάντα χειρωσάμενος ἦκεν. ἐξ ὧν τινες Ἡρακλέα
all having-subdued came from whom some Heracles
παραιτησάμενοι τῆς πραγματείας ἀφεθῆναι, περὶ ταῦτα
having-begged from-the service to-be-released about these
τὰ χωρία ὑπέμειναν καὶ πολίζονται λόφον ἐπιτήδειον
the places remained and found-a-city a-hill suitable

εὑρόντες, τρισταδίῳ δὲ μάλιστα μήκει τοῦ Παλλαντίου
having-found by-three-stades and about in-length from-the Palatine
διειργόμενον, ὅς νῦν μὲν Καπιτωλῖνος ὀνομάζεται, ὑπὸ
separated which now indeed Capitoline is-named by
δὲ τῶν τότε ἀνθρώπων Σατόρνιος ἐλέγετο, ὥσπερ ἂν
but the then men Saturnian was-called as —
εἴποι τις Ἑλλάδι φωνῇ Κρόνιος.
would-say someone in-Greek speech Cronian
τῶν δὲ ὑπολειφθέντων οἱ μὲν πλείους ἦσαν Πελοποννήσιοι, 34.2
of-those and left-behind the indeed most were Peloponnesians
Φενεᾶταί τε καὶ Ἐπειοὶ ἐξ Ἤλιδος, οἷς οὐκέτι πόθος
Pheneats both and Epeans from Elis to-whom no-longer desire
ἦν τῆς οἴκαδε ὁδοῦ διαπεπορθημένης αὐτοῖς τῆς πατρίδος
was of-the homeward journey having-been-ravaged for-them the fatherland
ἐν τῷ πρὸς Ἡρακλέα πολέμῳ, ἐμέμικτο δέ τι καὶ
in the against Heracles war was-mixed and some also
Τρωικὸν αὐτοῖς τῶν ἐπὶ Λαομέδοντος αἰχμαλώτων ἐξ
Trojan with-them of-the under Laomedon captives from
Ἰλίου γενομένων ὅτε τῆς πόλεως Ἡρακλῆς ἐκράτησε.
Ilium having-been when the city Heracles mastered
δοκεῖ δέ μοι καὶ τοῦ ἄλλου στρατοῦ πᾶν, εἴ τι
seems and to-me also of-the other army all if anything
καματηρὸν ἢ τῇ πλάνῃ ἀχθόμενον ἦν, ἄφεσιν τῆς
weary or with-the wandering vexed was release from-the
στρατείας αἰτησάμενον ἐν τῷ χωρίῳ τῷδε ὑπομεῖναι.
expedition having-asked in the place this to-have-remained
τὸ δὲ ὄνομα τῷ λόφῳ τινὲς μὲν ὥσπερ ἔφην ἀρχαῖον 34.3
the and name for-the hill some indeed as I-said ancient
οἴονται εἶναι, καὶ δι' αὐτὸ τοὺς Ἐπειοὺς οὐχ ἥκιστα
think to-be and because-of it the Epeans not least
φιλοχωρῆσαι τῷ λόφῳ μνήμῃ τοῦ ἐν Ἤλιδι Κρονίου
to-have-loved-dwelling-on the hill in-memory of-the in Elis Cronian

λόφου, ὅς ἐστιν ἐν τῇ Πισάτιδι γῇ ποταμοῦ πλησίον
hill which is in the Pisatan land a-river near
Ἀλφειοῦ, καὶ αὐτὸν ἱερὸν τοῦ Κρόνου νομίζοντες Ἠλεῖοι
Alpheus and it sacred — of-Cronus considering Eleans
θυσίαις καὶ ἄλλαις τιμαῖς συνιόντες γεραίρουσιν ἐν
with-sacrifices and other honors coming-together honor at
ὡρισμένοις χρόνοις.
fixed times

34.4 Εὔξενος δὲ ποιητὴς ἀρχαῖος καὶ ἄλλοι τινὲς τῶν Ἰταλικῶν
Euxenus but a-poet ancient and other some of-the Italian
μυθογράφων ὑπ᾽ αὐτῶν οἴονται Πισατῶν διὰ τὴν
mythographers by them think Pisatans because-of the
ὁμοιότητα τοῦ παρὰ σφίσι Κρονίου τεθῆναι τῷ
likeness of-the among them Cronian to-have-been-given to-the
τόπῳ τοὔνομα, καὶ τὸν βωμὸν τῷ Κρόνῳ τοὺς Ἐπειοὺς
place the-name and the altar — to-Cronus the Epeans
ἱδρύσασθαι μεθ᾽ Ἡρακλέους, ὃς ἔτι καὶ νῦν διαμένει
to-have-founded with Heracles which still even now remains
παρὰ τῇ ῥίζῃ τοῦ λόφου κατὰ τὴν ἄνοδον τὴν ἀπὸ τῆς
by the root of-the hill at the ascent the from the
ἀγορᾶς φέρουσαν εἰς τὸ Καπιτώλιον, τήν τε θυσίαν, ἣν
forum leading to — Capitol the both sacrifice which
καὶ ἐπ᾽ ἐμοῦ Ῥωμαῖοι ἔθυον φυλάττοντες τὸν Ἑλληνικὸν
also in my-time Romans offered keeping the Greek
νόμον, ἐκείνους εἶναι τοὺς καταστησαμένους.
custom they to-be the having-established-it

34.5 ὡς δ᾽ ἐγὼ συμβαλλόμενος εὑρίσκω, καὶ πρὶν Ἡρακλέα ἐλθεῖν
as but I conjecturing find even before Heracles to-come
εἰς Ἰταλίαν ἱερὸς ἦν ὁ τόπος τοῦ Κρόνου καλούμενος ὑπὸ
to Italy sacred was the place — of-Cronus called by
τῶν ἐπιχωρίων Σατόρνιος, καὶ ἡ ἄλλη δὲ ἀκτὴ σύμπασα ἡ
the natives Saturnian and the other too coast all the

νῦν Ἰταλία καλουμένη τῷ θεῷ τούτῳ ἀνέκειτο, Σατορνία
now Italy called to-the god this was-dedicated Saturnia
πρὸς τῶν ἐνοικούντων ὀνομαζομένη, ὡς ἔστιν εὑρεῖν ἔν
by the inhabitants named as it-is-possible to-find in
τε Σιβυλλείοις τισὶ λογίοις καὶ ἄλλοις χρηστηρίοις ὑπὸ τῶν
both Sibylline some oracles and other prophecies by the
θεῶν δεδομένοις εἰρημένον, ἱερά τε πολλαχῇ τῆς χώρας
gods given said temples both in-many-places of-the country
ἐστὶν ἱδρυμένα τῷ θεῷ καὶ πόλεις τινὲς οὕτως ὥσπερ ἡ
are founded to-the god and cities some so as the
σύμπασα τότε ἀκτὴ ὀνομαζόμεναι χῶροί τε πολλοὶ τοῦ
whole then coast named places both many of-the
δαίμονος ἐπώνυμοι καὶ μάλιστα οἱ σκόπελοι καὶ τὰ μετέωρα·
divinity named-after and especially the cliffs and the heights
Ἰταλία δὲ ἀνὰ χρόνον ὠνομάσθη ἐπ᾽ ἀνδρὸς δυνάστου ὄνομα 35.1
Italy and in time was-named after a-man ruler by-name
Ἰταλοῦ. τοῦτον δέ φησιν Ἀντίοχος ὁ Συρακούσιος ἀγαθὸν
Italus him and says Antiochus the Syracusan good
καὶ σοφὸν γεγενημένον καὶ τῶν πλησιοχώρων τοὺς μὲν
and wise having-been and of-the neighbors some indeed
λόγοις ἀναπείθοντα, τοὺς δὲ βίᾳ προσαγόμενον, ἅπασαν
by-words persuading others and by-force bringing-over all
ὑφ᾽ ἑαυτῷ ποιήσασθαι τὴν γῆν ὅση ἐντὸς ἦν τῶν
under himself to-have-made the land as-much-as within was of-the
κόλπων τοῦ τε Ναπητίνου καὶ τοῦ Σκυλλητίνου· ἣν δὴ
gulfs the both Napetine and the Scylletic which indeed
πρώτην κληθῆναι Ἰταλίαν ἐπὶ τοῦ Ἰταλοῦ. ἐπεὶ δὲ ταύτης
first to-have-been-called Italy after — Italus when and of-this
καρτερὸς ἐγένετο καὶ ἀνθρώπους πολλοὺς εἶχεν ὑπηκόους
master he-became and men many had subject

αὐτῷ, αὐτίκα τῶν ἐχομένων ἐπορέγεσθαι καὶ πόλεις
to-himself at-once of-the adjoining to-reach-out and cities
συνάγεσθαι πολλάς· εἶναι δ' αὐτὸν Οἴνωτρον τὸ γένος.
to-gather many to-be and him Oenotrian by race
35.2 Ἑλλάνικος δὲ ὁ Λέσβιός φησιν Ἡρακλέα τὰς Γηρυόνου
Hellanicus and the Lesbian says Heracles the of-Geryon
βοῦς ἀπελαύνοντα εἰς Ἄργος, ἐπειδή τις αὐτῷ δάμαλις
cattle driving to Argos when some to-him a-calf
ἀποσκιρτήσας τῆς ἀγέλης ἐν Ἰταλίᾳ ἐόντι ἤδη φεύγων
having-leapt-away from-the herd in Italy being already fleeing
διῆρε τὴν ἀκτὴν καὶ τὸν μεταξὺ διανηξάμενος πόρον
crossed the coast and the between having-swum strait
τῆς θαλάττης εἰς Σικελίαν ἀφίκετο, ἐρόμενον ἀεὶ τοὺς
of-the sea to Sicily came asking always the
ἐπιχωρίους καθ' οὓς ἑκάστοτε γίνοιτο διώκων τὸν δάμαλιν,
natives among whom each-time he-came pursuing the calf
εἴ πη τις αὐτὸν ἑωρακὼς εἴη, τῶν τῇδε ἀνθρώπων
if anywhere anyone it having-seen was the there men
Ἑλλάδος μὲν γλώττης ὀλίγα συνιέντων, τῇ δὲ πατρίῳ
of-Greek indeed tongue little understanding in-the and ancestral
φωνῇ κατὰ τὰς μηνύσεις τοῦ ζῴου καλούντων τὸν δάμαλιν
speech in the indications of-the animal calling the calf
οὐίτουλον, ὥσπερ καὶ νῦν λέγεται, ἐπὶ τοῦ ζῴου τὴν χώραν
vitulus as also now it-is-called after the animal the country
ὀνομάσαι πᾶσαν ὅσην ὁ δάμαλις διῆλθεν Οὐιτουλίαν.
to-have-named all as-much-as the calf passed-through Vitulia
35.3 μεταπεσεῖν δὲ ἀνὰ χρόνον τὴν ὀνομασίαν εἰς τὸ νῦν
to-have-changed and in time the name to the present
σχῆμα οὐδὲν θαυμαστόν, ἐπεὶ καὶ τῶν Ἑλληνικῶν πολλὰ
form nothing wonderful since also of-the Greek many
τὸ παραπλήσιον πέπονθεν ὀνομάτων. πλὴν εἴτε ὡς
the similar have-suffered names however whether as

Ἀντίοχός φησιν ἐπ᾽ ἀνδρὸς ἡγεμόνος, ὅπερ ἴσως καὶ
Antiochus says after a-man leader which perhaps also
πιθανώτερόν ἐστιν, εἴθ᾽ ὡς Ἑλλάνικος οἴεται ἐπὶ τοῦ
more-credible is or as Hellanicus thinks after the
ταύρου τὴν ὀνομασίαν ταύτην ἔσχεν, ἐκεῖνό γε ἐξ
bull the name this it-had that at-least from
ἀμφοῖν δῆλον, ὅτι κατὰ τὴν Ἡρακλέους ἡλικίαν ἢ μικρῷ
both plain that about the of-Heracles age or a-little
πρόσθεν οὕτως ὠνομάσθη. τὰ δὲ πρὸ τούτων Ἕλληνες
before so it-was-named the and before these Greeks
μὲν Ἑσπερίαν καὶ Αὐσονίαν αὐτὴν ἐκάλουν, οἱ δ᾽
indeed Hesperia and Ausonia it called the and
ἐπιχώριοι Σατορνίαν, ὡς εἴρηταί μοι πρότερον.
natives Saturnia as has-been-said by-me before
ἔστι δέ τις καὶ ἕτερος λόγος ὑπὸ τῶν ἐπιχωρίων 36.1
there-is and some also other account by the natives
μυθολογούμενος, ὡς πρὸ τῆς Διὸς ἀρχῆς ὁ Κρόνος ἐν
told-in-myth that before the of-Zeus rule — Cronus in
τῇ γῇ ταύτῃ δυναστεύσειε, καὶ ὁ λεγόμενος ἐπ᾽ ἐκείνου
the land this ruled and the said under him
βίος ἅπασι δαψιλὴς ὁπόσοις ὧραι φύουσιν οὐ παρ᾽ ἄλλοις
life in-all abundant as-many-as seasons produce not among others
μᾶλλον ἢ παρὰ σφίσι γένοιτο.
more than among them was
καὶ εἴ τις ἄλλως ἀφελὼν τὸ μυθῶδες τοῦ λόγου 36.2
and if anyone otherwise having-removed the fabulous of-the account
χώρας ἀρετὴν ἐξετάζειν ἐθελήσειεν, ἐξ ἧς γένος τὸ
of-a-country excellence to-examine should-wish from which race the
ἀνθρώπων πλείστας εὐφροσύνας ἐκαρπώσατο γενόμενον
of-men most delights enjoyed having-been-born
εὐθὺς εἴτ᾽ ἐκ γῆς ὡς ὁ παλαιὸς ἔχει λόγος, εἴτ᾽ ἄλλως
at-once whether from earth as the ancient has account or otherwise

πως, οὐκ ἂν εὕροι ταύτης τινὰ ἐπιτηδειοτέραν. ὡς
somehow not — he-would-find than-this any more-suitable as
γὰρ μία γῆ πρὸς ἑτέραν κρίνεσθαι τοσαύτην τὸ μέγεθος,
for one land against another to-be-judged so-great in size
οὐ μόνον τῆς Εὐρώπης, ἀλλὰ καὶ τῆς ἄλλης ἁπάσης
not only — of-Europe but also of-the other all
κρατίστη κατ᾽ ἐμὴν δόξαν ἐστὶν Ἰταλία.
best in my opinion is Italy
36.3 καίτοι με οὐ λέληθεν ὅτι πολλοῖς οὐ πιστὰ δόξω
and-yet me not has-escaped-notice that to-many not credible I-shall-seem
λέγειν, ἐνθυμουμένοις Αἴγυπτόν τε καὶ Λιβύην καὶ
to-say considering Egypt both and Libya and
Βαβυλῶνα καὶ εἰ δή τινες ἄλλοι χῶροί εἰσιν εὐδαίμονες·
Babylon and if indeed some other regions are prosperous
ἀλλ᾽ ἐγὼ τὸν ἐκ γῆς πλοῦτον οὐκ ἐν μιᾷ τίθεμαι καρπῶν
but I the from earth wealth not in one I-place of-crops
ἰδέᾳ οὐδ᾽ εἰσέρχεταί με ζῆλος οἰκήσεως, ἐν ᾗ μόνον εἰσὶν
form nor comes-upon me envy of-a-habitation in which only are
ἄρουραι πίονες, τῶν δ᾽ ἄλλων οὐδὲν ἢ βραχύ τι χρησίμων,
plowlands fertile of-the and other nothing or little some of-useful-things
ἀλλ᾽ ἥτις ἂν εἴη πολυαρκεστάτη τε καὶ τῶν ἐπεισάκτων
but whichever — may-be most-self-sufficient both and of-the imported
ἀγαθῶν ἐπὶ τὸ πολὺ ἐλάχιστον δεομένη, ταύτην κρατίστην
goods for the most-part least needing this best
εἶναι λογίζομαι. τοῦτο δὲ τὸ παμφόρον καὶ πολυωφελὲς
to-be I-reckon this and the all-bearing and much-benefiting
παρ᾽ ἡντινοῦν ἄλλην γῆν Ἰταλίαν ἔχειν πείθομαι.
beyond any other land Italy to-have I-am-persuaded
37.1 οὐ γὰρ ἀρούρας μὲν ἀγαθὰς ἔχει καὶ πολλάς, ἄδενδρος
not for plowlands indeed good it-has and many treeless
δ᾽ ἐστὶν ὡς σιτοφόρος· οὐδ᾽ αὖ φυτὰ μὲν ἱκανὴ παντοῖα
but it-is as grain-bearing nor again plants indeed sufficient of-all-kinds

θρέψασθαι, σπείρεσθαι δ' ὡς δενδρῖτις ὀλιγόκαρπος· οὐδ'
to-nourish to-be-sown but as tree-growing poor-in-crops nor
ἄμφω μὲν ταῦτα παρέχειν δαψιλής, προβατεύεσθαι δ'
both indeed these to-provide abundant to-be-grazed but
ἀνεπιτήδειος· οὐδ' ἄν τις αὐτὴν φαίη πολύκαρπον
unsuitable nor — anyone it would-say fruitful
μὲν εἶναι καὶ πολύδενδρον καὶ πολύβοτον, ἐνδιαίτημα δ'
indeed to-be and well-wooded and rich-in-pasture a-dwelling but
ἀνθρώποις ὑπάρχειν ἄχαρι· ἀλλ' ἔστι πάσης ὡς εἰπεῖν
for-men to-be graceless but it-is of-every so to-speak
ἡδονῆς τε καὶ ὠφελείας ἔκπλεως.
pleasure both and benefit full
ποίας μὲν γὰρ λείπεται σιτοφόρου μὴ ποταμοῖς, ἀλλὰ 37.2
than-what indeed for falls-short grain-bearing not by-rivers but
τοῖς οὐρανίοις ὕδασιν ἀρδομένης τὰ καλούμενα Καμπανῶν
by-the heavenly waters watered the called of-Campanians
πεδία, ἐν οἷς ἐγὼ καὶ τρικάρπους ἐθεασάμην ἀρούρας
plains in which I even three-cropping saw plowlands
θερινὸν ἐπὶ χειμερινῷ καὶ μετοπωρινὸν ἐπὶ θερινῷ σπόρον
summer after winter and autumn after summer crop
ἐκφερούσας; ποίας δ' ἐλαιοφόρου τὰ Μεσσαπίων καὶ
bearing what and olive-bearing the of-Messapians and
Δαυνίων καὶ Σαβίνων καὶ πολλῶν ἄλλων γεώργια; ποίας
Daunians and Sabines and many others farms what
δ' οἰνοφύτου Τυρρηνία καὶ Ἀλβανὴ καὶ τὰ Φαλερίνων
and vine-planted Tyrrhenia and Alban and the of-Falernians
χωρία θαυμαστῶς ὡς φιλάμπελα καὶ δι' ἐλαχίστου πόνου
lands wonderfully how vine-loving and with least toil
πλείστους ἅμα καὶ κρατίστους καρποὺς ἐξενεγκεῖν εὔπορα;
most at-once and best crops to-bear apt

37.3 χωρὶς δὲ τῆς ἐνεργοῦ πολλὴν μὲν ἄν τις εὕροι τὴν εἰς
apart and from-the cultivated much indeed — anyone would-find the for
ποίμνας ἀνειμένην αὐτῆς, πολλὴν δὲ τὴν αἰγινόμον, ἔτι δὲ
flocks left-free of-it much and the goat-pasturing still and
πλείω καὶ θαυμασιωτέραν τὴν ἱπποφορβόν τε καὶ βουκολίδα·
more and more-wonderful the horse-feeding both and cattle-grazing
ἡ γὰρ ἕλειος καὶ λειμωνία βοτάνη δαψιλὴς οὖσα τῶν τε
the for marsh and meadow grass abundant being of-the both
ὀργάδων ἡ δροσερὰ καὶ κατάρρυτος ἄπειρος ὅση θέρει
glades the dewy and well-watered boundless which in-summer
νέμεται καὶ παρέχει διὰ παντὸς εὐθενούσας τὰς ἀγέλας.
is-grazed and provides through all thriving the herds
37.4 πάντων δ' εἰσὶν οἱ δρυμοὶ θαυμασιώτατοι περί τε τὰ
of-all and are the forests most-wonderful about both the
κρημνώδη χωρία καὶ τὰς νάπας καὶ τοὺς ἀγεωργήτους
precipitous places and the glens and the uncultivated
λόφους, ἐξ ὧν πολλῆς μὲν εὐποροῦσι καὶ καλῆς ὕλης
hills from which much indeed they-are-supplied and fine timber
ναυπηγησίμου, πολλῆς δὲ τῆς εἰς τὰς ἄλλας ἐργασίας
for-shipbuilding much and of-the for the other works
εὐθέτου. καὶ τούτων οὐδὲν οὔτε δυσπόριστόν ἐστιν οὔτε
suitable and of-these nothing either hard-to-get is or
πρόσω τῆς ἀνθρωπίνης χρείας κείμενον, ἀλλ' εὐκατέργαστα
far from-the human need lying but easy-to-work
καὶ ῥᾴδια παρεῖναι πάντα διὰ πλῆθος τῶν ποταμῶν, οἳ
and easy to-be-at-hand all because-of the-number of-the rivers which
διαρρέουσιν ἅπασαν τὴν ἀκτὴν καὶ ποιοῦσι τάς τε κομιδὰς
flow-through all the coast and make the both transport
καὶ τὰς ἀμείψεις τῶν ἐκ γῆς φυομένων λυσιτελεῖς.
and the exchanges of-the-things from earth growing profitable

ἔχει δὲ ἡ γῆ καὶ νάματα θερμῶν ὑδάτων ἐν πολλοῖς 37.5
has and the land also springs of-hot waters in many
εὑρημένα χωρίοις, λουτρὰ παρασχεῖν ἥδιστα καὶ νόσους
found places baths to-provide most-pleasant and diseases
ἰάσασθαι χρονίους ἄριστα, καὶ μέταλλα παντοδαπὰ καὶ
to-heal chronic best and mines of-all-kinds and
θηρίων ἄγρας ἀφθόνους καὶ θαλάττης φύσιν πολύγονον
of-wild-beasts huntings abundant and of-sea nature prolific
ἄλλα τε μυρία, τὰ μὲν εὔχρηστα, τὰ δὲ θαυμάσια,
other-things both countless some indeed useful others and marvelous
πάντων δὲ κάλλιστον, ἀέρα κεκραμένον ταῖς ὥραις
of-all and finest air tempered to-the seasons
συμμέτρως, οἷον ἥκιστα πημαίνειν κρυμῶν ὑπερβολαῖς ἢ
evenly such-as least to-harm by-frosts' excesses or
θάλπεσιν ἐξαισίοις καρπῶν τε γένεσιν καὶ ζῴων φύσιν.
by-heats extraordinary of-crops both generation and of-animals nature
οὐδὲν δὴ θαυμαστὸν ἦν τοὺς παλαιοὺς ἱερὰν ὑπολαβεῖν 38.1
nothing indeed wonderful was the ancients sacred to-have-supposed
τοῦ Κρόνου τὴν χώραν ταύτην, τὸν μὲν δαίμονα τοῦτον
— of-Cronus the country this the indeed divinity this
οἰομένους εἶναι πάσης εὐδαιμονίας δοτῆρα καὶ πληρωτὴν
thinking to-be of-all prosperity giver and fulfiller
ἀνθρώποις, εἴτε Κρόνον αὐτὸν δεῖ καλεῖν, ὡς
for-men whether Cronus him it-is-needful to-call as
Ἕλληνες ἀξιοῦσιν, εἴτε Σάτουρνον, ὡς Ῥωμαῖοι, πᾶσαν
Greeks think-fit or Saturn as Romans all
δὲ περιειληφότα τὴν τοῦ κόσμου φύσιν, ὁποτέρως ἄν
and having-embraced the of-the universe nature whichever-way —
τις ὀνομάσῃ· τὴν δὲ χώραν ταύτην ὁρῶντας ἔκπλεω
anyone should-name-him the and country this seeing full
πάσης εὐπορίας καὶ χάριτος, ἧς τὸ θνητὸν ἐφίεται γένος,
of-all abundance and grace which the mortal desires race

ἀξιοῦντας δὲ καὶ θείῳ καὶ θνητῷ γένει τὸ πρόσφορον
thinking and both to-divine and to-mortal race the fitting
εἶναι πάντων χωρίων ἁρμοδιώτατον, ὄρη μὲν καὶ
to-be of-all places most-suitable mountains indeed and
νάπας Πανί, λειμῶνας δὲ καὶ τεθηλότα χωρία νύμφαις,
glens to-Pan meadows but and flourishing places to-nymphs
ἀκτὰς δὲ καὶ νήσους πελαγίοις δαίμοσι, τῶν δ' ἄλλων,
coasts and and islands to-sea divinities of-the and others
ὡς ἑκάστῳ τι θεῷ καὶ δαίμονι οἰκεῖον.
as to-each some god and divinity proper
38.2 λέγουσι δὲ καὶ τὰς θυσίας ἐπιτελεῖν τῷ Κρόνῳ τοὺς
they-say and also the sacrifices to-perform — to-Cronus the
παλαιούς, ὥσπερ ἐν Καρχηδόνι τέως ἡ πόλις διέμεινε καὶ
ancients as in Carthage while the city remained and
παρὰ Κελτοῖς εἰς τόδε χρόνου γίνεται καὶ ἐν ἄλλοις τισὶ
among Celts to this of-time it-is-done and in other some
τῶν ἑσπερίων ἐθνῶν ἀνδροφόνους, Ἡρακλέα δὲ παῦσαι
of-the western nations man-slaying Heracles and to-have-stopped
τὸν νόμον τῆς θυσίας βουληθέντα τόν τε βωμὸν ἱδρύσασθαι
the custom of-the sacrifice wishing the both altar to-have-founded
τὸν ἐπὶ τῷ Σατουρνίῳ καὶ κατάρξασθαι θυμάτων ἁγνῶν
the on the Saturnian and to-have-begun offerings pure
ἐπὶ καθαρῷ πυρὶ ἁγιζομένων, ἵνα δὲ μηδὲν εἴη
on clean fire hallowed so-that and nothing might-be
τοῖς ἀνθρώποις ἐνθύμιον, ὡς πατρίων ἠλογηκόσι θυσιῶν,
for-the men a-scruple as ancestral having-neglected sacrifices
διδάξαι τοὺς ἐπιχωρίους ἀπομειλιττομένους τὴν τοῦ θεοῦ
to-have-taught the natives appeasing the of-the god
μῆνιν ἀντὶ τῶν ἀνθρώπων, οὓς συμποδίζοντες καὶ τῶν
wrath instead-of the men whom binding-hand-and-foot and of-the
χειρῶν ἀκρατεῖς ποιοῦντες ἐρρίπτουν εἰς τὸ τοῦ Τεβέριος
hands powerless making they-threw into the of-the Tiber

ῥεῖθρον, εἴδωλα ποιοῦντας ἀνδρείκελα κεκοσμημένα τὸν
stream images making man-like adorned the
αὐτὸν ἐκείνοις τρόπον ἐμβαλεῖν εἰς τὸν ποταμόν, ἵνα
same as-them way to-throw into the river so-that
δὴ τὸ τῆς ὀττείας ὅ τι δή ποτε ἦν ἐν ταῖς
indeed the of-the foreboding what ever indeed at-all was in the
ἁπάντων ψυχαῖς παραμένον ἐξαιρεθῇ τῶν εἰκόνων τοῦ
of-all souls remaining might-be-removed the images of-the
παλαιοῦ πάθους ἔτι σωζομένων.
ancient rite still being-preserved

τοῦτο δὲ καὶ μέχρις ἐμοῦ ἔτι διετέλουν Ῥωμαῖοι δρῶντες 38.3
this and also until me still continued Romans doing
μικρὸν ὕστερον ἐαρινῆς ἰσημερίας ἐν μηνὶ Μαΐῳ ταῖς
a-little after-the spring equinox in month May on-the
καλουμέναις εἰδοῖς, διχομηνίδα βουλόμενοι ταύτην εἶναι τὴν
called Ides mid-month wishing this to-be the
ἡμέραν, ἐν ᾗ προθύσαντες ἱερὰ τὰ κατὰ τοὺς νόμους
the race and wooden-images of-these stand of-both
50.4 ἐκεῖθεν δὲ πελάγιον ποιησάμενοι τὸν πλοῦν εἰς Λευκάδα
from-there and an-open-sea making the voyage to Leucas
κατάγονται, κατεχόντων ἔτι τὸ χωρίον Ἀκαρνάνων. κἀν
put-in holding still the place Acarnanians and-in
ταύτῃ πάλιν ἱερὸν Ἀφροδίτης ἱδρύονται τοῦτο, ὃ νῦν
this again a-temple of-Aphrodite they-found this which now
ἐστιν ἐν τῇ νησῖδι τῇ μεταξὺ τοῦ Διορύκτου τε καὶ
is in the islet the between the Canal both and
τῆς πόλεως, καλεῖται δὲ Ἀφροδίτης Αἰνειάδος. ἄραντες
the city is-called and of-Aphrodite Aeneias having-set-sail
δὲ αὐτόθεν ἐπί τε Ἄκτιον ἐλθόντες ὁρμίζονται τοῦ
and from-there to both Actium having-come anchor of-the
Ἀμβρακικοῦ κόλπου πρὸς τὸ ἀκρωτήριον. κἀκεῖθεν εἰς
Ambracian gulf at the promontory and-from-there to
Ἀμβρακίαν ἀφικνοῦνται πόλιν, ἧς ἐβασίλευεν Ἄμβραξ
Ambracia arrive a-city over-which reigned Ambrax
ὁ Δεξαμενοῦ τοῦ Ἡρακλέους, καὶ ὑπολείπονται ἑκατέρωθι
the son-of-Dexamenus the son-of-Heracles and leave on-both-sides
μνημεῖα τῆς ἀφίξεως· ἐν Ἀκτίῳ μὲν Ἀφροδίτης Αἰνειάδος
memorials of-the arrival in Actium indeed of-Aphrodite Aeneias
ἱερὸν καὶ πλησίον αὐτοῦ θεῶν μεγάλων, ἃ καὶ εἰς
a-temple and near it of-gods great which even to
ἐμὲ ἦν· ἐν δὲ Ἀμβρακίᾳ ἱερόν τε τῆς αὐτῆς θεοῦ καὶ
me were in and Ambracia a-temple both of-the same goddess and

ἡρῶον Αἰνείου πλησίον τοῦ μικροῦ θεάτρου, ἐν ᾧ καὶ
a-hero-shrine of-Aeneas near the little theater in which also
ξόανον μικρὸν ἀρχαϊκὸν Αἰνείου λεγόμενον, καὶ αὐτὸ
a-wooden-image small archaic of-Aeneas said and it
θυσίαις ἐγέραιρον αἱ καλούμεναι παρ᾽ αὐτοῖς ἀμφίπολοι.
with-sacrifices honored the called among them priestesses
ἐκ δὲ Ἀμβρακίας Ἀγχίσης μὲν τὰς ναῦς ἔχων παρὰ 51.1
from and Ambracia Anchises indeed the ships having along
γῆν κομιζόμενος εἰς Βουθρωτὸν λιμένα τῆς Ἠπείρου
shore being-carried to Buthrotum harbor — of-Epirus
κατάγεται, Αἰνείας δὲ καὶ οἱ ἀκμαιότατοι σὺν αὐτῷ τοῦ
puts-in Aeneas but and the most-vigorous with him of-the
στρατοῦ διανύσαντες ἡμερῶν δυεῖν ὁδὸν εἰς Δωδώνην
army having-completed of-days two journey to Dodona
ἀφικνοῦνται χρησόμενοι τῷ θεῷ καὶ καταλαμβάνουσιν
arrive going-to-consult the god and find
αὐτόθι Τρῶας τοὺς σὺν Ἑλένῳ. ἀνελόμενοι δὲ χρησμοὺς
there Trojans those with Helenus having-received and oracles
περὶ τῆς ἀποικίας καὶ τὸν θεὸν ἀναθήμασι δωρησάμενοι
about the colony and the god with-offerings having-presented
Τρωικοῖς ἄλλοις τε καὶ κρατῆρσι χαλκοῖς, ὧν τινες
Trojan other both and with-mixing-bowls bronze of-which some
ἔτι περίεισιν ἐπιγραφαῖς πάνυ ἀρχαίαις δηλοῦντες τοὺς
still survive with-inscriptions very ancient showing those
ἀναθέντας, ἐπὶ τὸ ναυτικὸν ἀφικνοῦνται τεττάρων μάλιστα
having-dedicated to the fleet arrive of-four about
ἡμερῶν διελθόντες ὁδόν. δηλοῖ δὲ καὶ τὴν εἰς Βουθρωτὸν
days having-traveled journey shows and also the to Buthrotum
τῶν Τρώων παρουσίαν λόφος τις, ᾧ τότε στρατοπέδῳ
of-the Trojans presence a-hill some which then as-a-camp
ἐχρήσαντο, Τροία καλούμενος.
they-used Troy called

51.2 ἐκ δὲ Βουθρωτοῦ παρὰ γῆν κομισθέντες ἄχρι λιμένος
from and Buthrotum along shore having-been-carried as-far-as harbor
Ἀγχίσου μὲν τότε ὀνομασθέντος, νῦν δ' ἀσαφεστέραν
of-Anchises indeed then named now but more-obscure
ἔχοντος ὀνομασίαν, ἱερὸν καὶ αὐτόθι τῆς Ἀφροδίτης
having name a-temple also there — of-Aphrodite
ἱδρυσάμενοι διαίρουσι τὸν Ἰόνιον ἡγεμόνας ἔχοντες τῆς
having-founded cross the Ionian guides having of-the
ναυτιλίας, οἳ συνέπλευσαν αὐτοῖς ἐθελούσιοι συνεπισπόμενοι,
navigation who sailed-with them voluntarily having-followed
τοὺς σὺν Πάτρωνι τῷ Θουρίῳ· καὶ αὐτῶν οἱ μὲν
those with Patron the Thurian and of-them the indeed
πλείους, ἐπειδὴ σῶος ὁ στρατὸς εἰς Ἰταλίαν ἀφίκετο,
most when safe the army to Italy arrived
ἐπ' οἶκου αὖθις ἀνεκομίσθησαν, Πάτρων δὲ πεισθεὶς ὑπ'
to home again returned Patron and persuaded by
Αἰνείου κοινωνεῖν τῆς ἀποικίας καὶ σὺν αὐτῷ τινες τῶν
Aeneas to-share of-the colony and with him some of-the
φίλων ὑπέμειναν ἐν τῷ στόλῳ· οὓς ἔνιοί φασιν ἐν
friends remained in the expedition whom some say in
Ἀλοντίῳ κατοικῆσαι τῆς Σικελίας. ταύτης ὑπομνήσει τῆς
Aluntium to-have-settled — of-Sicily of-this in-remembrance the
εὐεργεσίας Ἀκαρνᾶσι Ῥωμαῖοι Λευκάδα καὶ Ἀνακτόριον
service to-Acarnanians Romans Leucas and Anactorium
ἀφελόμενοι Κορινθίους ἀνὰ χρόνον ἐχαρίσαντο Οἰνιάδας τε
having-taken-from Corinthians in time gave Oeniadae both
ἀποκαταστῆσαι βουλομένοις ἐπέτρεψαν καὶ τὰς Ἐχινάδας
to-restore wishing allowed and the Echinades
νήσους καρποῦσθαι κοινῇ μετ' Αἰτωλῶν ἔδωκαν.
islands to-enjoy-the-fruits in-common with Aetolians gave

οἱ δὲ σὺν Αἰνείᾳ ποιησάμενοι τὴν ἀπόβασιν οὐ καθ' ἓν 51.3
those and with Aeneas having-made the landing not at one
χωρίον τῆς Ἰταλίας, ἀλλὰ ταῖς μὲν πλείσταις ναυσὶ πρὸς
place — of-Italy but with-the indeed most ships at
ἄκραν Ἰαπυγίας ὁρμισάμενοι, ἣ τότε Σαλεντῖνος ἐλέγετο,
cape of-Iapygia having-anchored which then Salentinus was-called
ταῖς δὲ λοιπαῖς κατὰ τὸ καλούμενον Ἀθήναιον, ἔνθα καὶ
with-the and rest at the called Athenaeum where also
αὐτὸς Αἰνείας ἐτύγχανεν ἐπιβὰς Ἰταλίας (τοῦτο δὲ τὸ
himself Aeneas happened having-landed in-Italy this and the
χωρίον ἐστὶν ἀκρωτήριον καὶ ἐπ' αὐτῷ θερινὸς ὅρμος,
place is a-promontory and on it a-summer anchorage
ὃς ἐξ ἐκείνου λιμὴν Ἀφροδίτης καλεῖται), παρέπλευσαν
which from that-time harbor of-Aphrodite is-called sailed-along
ἄχρι πορθμοῦ διὰ χειρὸς ἔχοντες Ἰταλίαν, ἴχνη τινὰ κἀν
as-far-as the-strait in hand having Italy traces some also-in
τούτοις ὑπολειπόμενοι τοῖς τόποις τῆς ἀφίξεως ἄλλα τε
these leaving the places of-the arrival others both
καὶ φιάλην χαλκῆν ἐν Ἥρας ἱερῷ γραφῇ δηλοῦσαν
and a-bowl bronze in of-Hera temple by-an-inscription showing
ἀρχαίᾳ τοῦ δωρησαμένου τῇ θεῷ Αἰνείου τοὔνομα.
ancient of-the having-presented to-the goddess Aeneas the-name
γενόμενοι δὲ κατὰ Σικελίαν, εἴτε γνώμῃ χρησάμενοι τῇδε 52.1
having-come and to Sicily whether by-design having-used here
ὁρμίσασθαι εἴτε καὶ ὑπ' ἀνέμων πονηρῶν βιασθέντες, ἃ
to-anchor or also by winds bad forced which
δὴ φιλεῖ περὶ τὴν θάλατταν τήνδε γίνεσθαι, κατάγονται
indeed are-wont about the sea this to-arise they-put-in
τῆς νήσου περὶ τὰ καλούμενα Δρέπανα· ἔνθα περιτυγχάνουσι
to-the island about the called Drepana where they-come-upon
τοῖς σὺν Ἐλύμῳ καὶ Αἰγέστῳ προεξελθοῦσιν ἐκ τῆς Τροίας,
those with Elymus and Aegestus having-gone-out-before from — Troy

οἳ τύχης τε καὶ πνεύματος οὐρίου λαβόμενοι καὶ ἅμα οὐ
who fortune both and of-wind favorable having-got and at-once not
πολλῇ ἀποσκευῇ βαρυνόμενοι δι᾽ ὀλίγου κατήχθησαν εἰς
by-much baggage weighed-down through little were-brought to
Σικελίαν καὶ ᾤκησαν περὶ ποταμὸν καλούμενον Κριμισὸν
Sicily and dwelt about a-river called Crimisus
ἐν γῇ Σικανῶν, πρὸς φιλίαν λαβόντες παρ᾽ αὐτῶν τὸ
in land of-Sicani in friendship having-received from them the
χωρίον διὰ τὴν Αἰγέστου συγγένειαν γενομένου τε
place because-of the of-Aegestus kinship having-been-born both
καὶ τραφέντος ἐν Σικελίᾳ κατὰ τοιόνδε τι πάθος.
and having-been-reared in Sicily by such some misfortune
52.2 τῶν προγόνων αὐτοῦ τις ἀνὴρ ἐπιφανὴς ἐκ τοῦ
of-the ancestors his a-certain man distinguished from the
Τρωικοῦ γένους ὢν Λαομέδοντι διάφορος γίνεται, καὶ
Trojan race being with-Laomedon at-odds becomes and
αὐτὸν ὁ βασιλεὺς ἐπ᾽ αἰτίᾳ δή τινι λαβὼν κτείνει
him the king on charge indeed some having-seized kills
καὶ γένος αὐτοῦ τὸ ἄρρεν ἅπαν, ὑπὸ δέους μή τι
and the-offspring his the male all from fear lest something
πρὸς αὐτῶν πάθῃ· τὰς δὲ θυγατέρας παρθένους ἔτι
from them he-should-suffer the and daughters maidens still
οὔσας ἀποκτεῖναι μὲν οὐκ εὐπρεπὲς ἐνόμισε, Τρωσὶ
being to-kill indeed not seemly he-thought with-Trojans
δὲ συνοικούσας περιδεῖν οὐκ ἀσφαλές, δίδωσι δ᾽ αὐτὰς
but living-with to-overlook not safe gives and them
ἐμπόροις ὡς προσωτάτω κελεύσας ἀπάγειν.
to-merchants as farthest having-ordered to-carry-off
52.3 ταύταις ἀπιούσαις συνεκπλεῖ μειράκιόν τι τῶν ἐπιφανῶν
with-these departing sails-out-with a-youth some of-the distinguished
κρατούμενον ἔρωτι τῆς ἑτέρας καὶ γαμεῖ τὴν παιδίσκην
overcome by-love of-the one and marries the girl

ἀχθεῖσαν εἰς Σικελίαν, καὶ γίνεται αὐτοῖς παῖς ἐν
having-been-brought to Sicily and is-born to-them a-son among
Σικελοῖς διατρίβουσιν Αἴγεστος ὄνομα· ὃς ἤθη καὶ
Sicels living Aegestus by-name who customs and
γλῶσσαν τῶν ἐπιχωρίων ἐκμαθών, ἐπειδὴ τοὺς γονεῖς αὐτῷ
language of-the natives having-learned when the parents for-him
τελευτῆσαι συνέβη, βασιλεύοντος ἐν Τροίᾳ Πριάμου κάθοδον
to-die happened reigning in Troy Priam return
αὐτῷ δοθῆναι διαπράττεται, καὶ συνδιενέγκας τὸν πρὸς
to-himself to-be-given obtains and having-helped-wage the against
τοὺς Ἀχαιοὺς πόλεμον ἁλισκομένης τῆς πόλεως ἀπέπλει
the Achaeans war being-taken the city sailed-away
πάλιν εἰς Σικελίαν σὺν Ἐλύμῳ ποιησάμενος τὴν φυγὴν
again to Sicily with Elymus having-made the flight
ἐν τρισὶ ναυσὶν, ἃς Ἀχιλλεὺς ἔχων ὅτε τὰς Τρωάδας
in three ships which Achilles having when the Trojan
ἐληίζετο πόλεις ἔρμασιν ὑφάλοις περιπεσούσας ἀπέβαλεν.
he-was-plundering cities on-reefs underwater having-fallen-upon he-had-lost
ἐντυχὼν δὴ τοῖς εἰρημένοις Αἰνείας ἀνδράσι φιλοφρονεῖταί 52.4
having-met indeed the mentioned Aeneas men treats-kindly
τε αὐτοὺς καὶ κατασκευάζεται αὐτοῖς πόλεις Αἴγεσταν
both them and builds for-them cities Aegesta
καὶ Ἔλυμα καί τινα καὶ μοῖραν τῆς ἑαυτοῦ στρατιᾶς
and Elyma and some also part of-the his-own army
ἐν τοῖς πολίσμασιν ὑπολείπεται, ὡς μὲν ἐγὼ εἰκάζω
in the small-towns leaves as indeed I conjecture
γνώμῃ ἑκουσίῳ χρησάμενος, ἵνα τοῖς ὑπὸ καμάτων
by-design voluntary having-used so-that for-those by toils
βαρυνομένοις ἢ καὶ ἄλλως θαλάττῃ ἀχθομένοις ἀναπαύσεις
weighed-down or also otherwise by-sea vexed rests
γίνοιντο ἀσφαλεῖς καὶ καταγωγαί, ὡς δέ τινες γράφουσι
might-be safe and landing-places as but some write

τοῦ ναυτικοῦ μειωθέντος αὐτῷ διὰ τὴν ἔμπρησιν,
the fleet having-been-diminished for-him because-of the burning
ἣν ἐποιήσαντο τῶν γυναικῶν τινες ἀχθόμεναι τῇ
which made of-the women some vexed with-the
πλάνῃ, τὸν οὐκέτι δυνάμενον συμπλεῖν ὄχλον ἐκ τῶν
wandering the no-longer able to-sail-with crowd from the
κατακεκαυμένων νεῶν ἀνάγκῃ καταλιπών.
burned ships by-necessity having-left

53.1 τεκμήρια δὲ τῆς εἰς Σικελοὺς Αἰνείου τε καὶ Τρώων
proofs and of-the to Sicels of-Aeneas both and Trojans
ἀφίξεως πολλὰ μὲν καὶ ἄλλα, περιφανέστατα δὲ τῆς
arrival many indeed also others most-conspicuous but —
Αἰνειάδος Ἀφροδίτης ὁ βωμὸς ἐπὶ τῇ κορυφῇ τοῦ Ἐλύμου
Aeneias of-Aphrodite the altar on the summit the of-Elymus
ἱδρυμένος καὶ ἱερὸν Αἰνείου ἱδρυμένον ἐν Αἰγέστῃ, τὸν
founded and a-temple of-Aeneas founded in Aegesta the
μὲν αὐτοῦ κατασκευάσαντος Αἰνείου τῇ μητρί, τὸ δὲ
indeed it having-built Aeneas for-the mother the and
ἱερὸν τῶν ὑπολειφθέντων ἀπὸ τοῦ στόλου τῇ μνήμῃ τοῦ
temple those left from the expedition in-the memory of-the
σώσαντος σφᾶς ἀνάθημα ποιησαμένων. τὸ μὲν δὴ σὺν
having-saved them a-dedication having-made the indeed indeed with
Ἐλύμῳ καὶ Αἰγέστῳ Τρωικὸν ἐν τούτοις κατέμεινε τοῖς
Elymus and Aegestus Trojan-band in these remained the
χωρίοις, καὶ διετέλεσαν Ἔλυμοι καλούμενοι. προεῖχε γὰρ
places and continued Elymians being-called excelled for
κατὰ τὴν ἀξίωσιν Ἔλυμος ἀπὸ τοῦ βασιλικοῦ γένους ὤν,
in the dignity Elymus from the royal race being
ἀφ᾽ οὗ τὴν κλῆσιν οἱ σύμπαντες ἔλαβον.
from whom the name the all took

οἱ δὲ σὺν τῷ Αἰνείᾳ πλέοντες ἀπὸ Σικελίας διὰ 53.2
those and with — Aeneas sailing from Sicily through
τοῦ Τυρρηνικοῦ πελάγους πρῶτον μὲν ὡρμίσαντο τῆς
the Tyrrhenian sea first indeed anchored —
Ἰταλίας κατὰ λιμένα τὸν Παλίνουρον, ὃς ἀφ' ἑνὸς τῶν
of-Italy at harbor the Palinurus which from one of-the
Αἰνείου κυβερνητῶν τελευτήσαντος αὐτόθι ταύτης τυχεῖν
of-Aeneas pilots having-died there this to-have-got
λέγεται τῆς ὀνομασίας. ἔπειτα νήσῳ προσέσχον, ᾗ
is-said the name then to-an-island put-in to-which
τοὔνομα ἔθεντο Λευκασίαν ἀπὸ γυναικὸς ἀνεψιᾶς Αἰνείου
the-name they-gave Leucasia from a-woman cousin of-Aeneas
περὶ τόνδε τὸν τόπον ἀποθανούσης.
about this the place having-died
ἐκεῖθεν δὲ κατάραντες εἰς λιμένα βαθὺν καὶ καλὸν 53.3
from-there and having-put-in into a-harbor deep and fine
ἐν Ὀπικοῖς, τελευτήσαντος καὶ αὐτόθι Μισηνοῦ τῶν
among Opici having-died also there Misenus of-the
ἐπιφανῶν τινος, ἀπ' ἐκείνου τὸν λιμένα ὠνόμασαν,
distinguished one from him the harbor they-named
νήσῳ τε Προχύτῃ καὶ ἀκρωτηρίῳ Καιήτῃ τύχῃ
to-an-island both Prochyta and to-a-promontory Caieta by-chance
προσορμισάμενοι κατὰ ταὐτὰ τίθενται τὰς ἐπικλήσεις
having-anchored in the-same-way they-give the names
τοῖς τόποις, γυναικῶν ἀποθανουσῶν βουλόμενοι μνημεῖα
to-the places women having-died wishing memorials
ποιῆσαι τὰ χωρία. τούτων δὲ ἡ μὲν συγγενὴς
to-make the places of-these and the-one indeed kinswoman
Αἰνείου λέγεται γενέσθαι, ἡ δὲ τροφός. τελευτῶντες
of-Aeneas is-said to-have-been the-other and nurse finally
δὲ ἀφικνοῦνται τῆς Ἰταλίας εἰς Λωρεντόν, ἔνθα τῆς
and they-arrive — of-Italy at Laurentum where of-the

πλάνης παυσάμενοι χάρακα ἔθεντο, καὶ τὸ χωρίον ἐν ᾧ
wandering having-ceased a-camp they-made and the place in which
κατεστρατοπεδεύσαντο ἐξ ἐκείνου Τροία καλεῖται, ἀπέχει
they-encamped from that-time Troy is-called is-distant
δὲ τῆς θαλάττης ἀμφὶ τοὺς τέτταρας σταδίους.
and from-the sea about the four stades
53.4 ἔγραψα δὲ ταῦτα καὶ τὴν παρέκβασιν ἐποιησάμην τοῦ
I-wrote and these-things and the digression made of-the
ἀναγκαίου χάριν, ἐπειδὴ τῶν συγγραφέων οἱ μὲν οὐδ'
necessary for-the-sake since of-the historians some indeed not-even
ἐλθεῖν Αἰνείαν φασὶν εἰς Ἰταλίαν ἅμα Τρωσίν, οἱ δ'
to-have-come Aeneas say to Italy together-with Trojans others and
ἕτερον Αἰνείαν, οὐ τὸν ἐξ Ἀφροδίτης καὶ Ἀγχίσου γενόμενον,
another Aeneas not the from Aphrodite and Anchises born
οἱ δ' Ἀσκάνιον τὸν Αἰνείου, οἱ δ' ἄλλους τινάς. εἰσὶ
others and Ascanius the son-of-Aeneas others and others some there-are
δ' οἳ τὸν ἐξ Ἀφροδίτης Αἰνείαν λέγουσι καταστήσαντα
and who the from Aphrodite Aeneas say having-settled
τὸν λόχον εἰς Ἰταλίαν ἀνακομισθῆναι πάλιν οἴκαδε καὶ
the company in Italy to-have-returned again home and
βασιλεῦσαι τῆς Τροίας, τελευτῶντα δὲ καταλιπεῖν
to-have-reigned-over — Troy dying and to-have-left
Ἀσκανίῳ τῷ παιδὶ τὴν βασιλείαν, καὶ τὸ ἀπ' ἐκείνου γένος
to-Ascanius the son the kingdom and the from him race
ἐπὶ πλεῖστον κατασχεῖν τὴν ἀρχήν· ὡς μὲν ἐγὼ εἰκάζω τοῖς
for longest to-have-held the rule as indeed I conjecture by-the
Ὁμήρου ἔπεσιν οὐκ ὀρθῶς λαμβανομένοις παρακρουσθέντες.
of-Homer verses not rightly being-understood having-been-misled

πεποίηται γὰρ αὐτῷ ἐν Ἰλιάδι Ποσειδῶν προλέγων τὴν 53.5
is-represented for by-him in Iliad Poseidon foretelling the
μέλλουσαν ἔσεσθαι περὶ τὸν Αἰνείαν καὶ τοὺς ἐξ ἐκείνου
going to-be about — Aeneas and those from him
γενησομένους ἐπιφάνειαν ὧδέ πως·
going-to-be-born distinction thus somehow

νῦν δὲ δὴ Αἰνείαο βίῃ Τρώεσσιν ἀνάξει
now and indeed of-Aeneas the-might over-Trojans will-rule
καὶ παῖδες παίδων, τοί κεν μετόπισθε γένωνται.
and sons of-sons who — hereafter shall-be-born

ὑπολαβόντες οὖν τὸν Ὅμηρον ἐν Φρυγίᾳ δυναστεύοντας
having-supposed then — Homer in Phrygia ruling
εἰδέναι τοὺς ἄνδρας, ὡς δὴ οὐ δυνατὸν ὂν ἐν Ἰταλίᾳ
to-know the men as indeed not possible being in Italy
οἰκοῦντας βασιλεύειν Τρώων, τὴν ἀνακομιδὴν τοῦ Αἰνείου
dwelling to-reign-over Trojans the return — of-Aeneas
ἀνέπλασαν. ἄρχειν δὲ δὴ τῶν Τρώων οὓς ἐπήγετο καὶ
they-invented to-rule but indeed the Trojans whom he-brought even
ἄλλοθι πολιτευομένων οὐκ ἀδύνατον ἦν· ἔχοι δ' ἄν
elsewhere living-as-citizens not impossible was might-have and —
τις τῆς ἀπάτης καὶ ἑτέρας αἰτίας λαβεῖν.
anyone of-the deception also other causes to-find

Aeneas' tombs are shown in many places because he left kindnesses and kinsmen wherever he stayed. At Laurentum springs rose for the thirsty Trojans, and when they ate the parsley or cakes they had used as tables, they knew the oracle was fulfilled. The sow to be sacrificed broke loose and sank down on a poor hill; a voice or a dream bade Aeneas found a city there, and she farrowed thirty young, the years until a second city. Latinus left his Rutulian war to march on the builders, but dreams stayed both sides and the leaders met.

54.1 εἰ δέ τινας ταράττει τὸ πολλαχῇ λέγεσθαί τε καὶ
if and some disturbs the in-many-places to-be-said both and
δείκνυσθαι τάφους Αἰνείου ἀμηχάνου ὄντος ἐν πλείοσι τὸν
to-be-shown tombs of-Aeneas impossible being in more the
αὐτὸν τεθάφθαι χωρίοις, ἐνθυμηθέντες ὅτι κοινόν ἐστιν
same to-have-been-buried places having-considered that common is
ἐπὶ πολλῶν τοῦτό γε τὸ ἄπορον καὶ μάλιστα τῶν μὲν
in many this at-least the difficulty and most of-those indeed
ἐπιφανεῖς τὰς τύχας, πλάνητας δὲ τοὺς βίους ἐσχηκότων,
distinguished the fortunes wandering and the lives having-had
μαθέτωσαν ὅτι χωρίον μὲν ἓν τὸ δεξάμενον τὰ σώματα
let-them-learn that place indeed one the having-received the bodies
αὐτῶν ἦν, μνημεῖα δὲ παρὰ πολλοῖς κατεσκεύαστο δι᾽
their was memorials but among many were-built through
εὔνοιαν τῶν ἐν ὠφελείαις τισὶ δι᾽ αὐτοὺς γενομένων,
goodwill of-those in benefits some through them having-come
μάλιστα εἰ τοῦ γένους αὐτῶν τι περιῆν ἢ πόλεώς
most if of-the race their anything survived or of-city
τινος ἀπόκτισις ἢ χρόνιοί τινες καὶ φιλάνθρωποι μοναί·
some a-colony or long some and kindly sojourns
οἷα δὴ καὶ περὶ τόνδε τὸν ἥρωα μυθολογούμενα ἴσμεν.
such-as indeed also about this the hero told-in-myth we-know

Ἰλίῳ μὲν γὰρ τὸ μὴ πασσυδὶ διαφθαρῆναι κατὰ τὴν ἅλωσιν 54.2
to-Ilium indeed for the not utterly to-be-destroyed at the capture
παρασχών, τῇ δὲ καλουμένῃ Βεβρυκίᾳ τὸ ἐπικουρικὸν
having-provided for-the and called Bebrycia the auxiliary-force
διασωθῆναι παρασκευάσας, ἐν Φρυγίᾳ δὲ τὸν υἱὸν Ἀσκάνιον
to-be-saved having-caused in Phrygia and the son Ascanius
βασιλέα καταλιπών, ἐν Παλλήνῃ δὲ πόλιν ἐπώνυμον
king having-left in Pallene and a-city named-after-himself
κτίσας, ἐν Ἀρκαδίᾳ δὲ θυγατέρας κηδεύσας, ἐν Σικελίᾳ
having-founded in Arcadia and daughters having-married-off in Sicily
δὲ μέρος τῆς στρατιᾶς ὑπολιπόμενος, ἐν πολλοῖς δὲ
and part of-the army having-left-behind in many and
ἄλλοις χωρίοις φιλανθρώπους τὰς διατριβὰς δωρήσασθαι
other places kindly the sojourns to-have-bestowed
δοκῶν ἑκούσιον εἶχε παρ᾽ αὐτῶν τὴν εὔνοιαν, δι᾽ ἣν
seeming voluntary he-had from them the goodwill through which
τὸν μετ᾽ ἀνθρώπων βίον ἐκλιπὼν ἡρώοις ἐκοσμεῖτο
the among men life having-left with-hero-shrines he-was-honored
καὶ μνημάτων κατασκευαῖς πολλαχῇ.
and of-tombs with-buildings in-many-places
ἐπεὶ φέρε τίνας ἂν αἰτίας ἔχοι τις ὑποθέσθαι τῶν ἐν 54.3
since come what — causes could anyone to-suppose of-the in
Ἰταλίᾳ αὐτοῦ μνημάτων, εἰ μήτε ἦρξε τούτων τῶν χωρίων
Italy his tombs if neither he-ruled these the places
μήτε καταγωγὰς ἐν αὐτοῖς ἐποιήσατο μήθ᾽ ὅλως ἐγνώσθη
nor landings in them made nor at-all was-known
πρὸς αὐτῶν; ἀλλ᾽ ὑπὲρ μὲν τούτων καὶ αὖθις λεχθήσεται,
by them but about indeed these also again will-be-said
καθότι ἂν ὁ λόγος ἐφ᾽ ἑκάστου καιροῦ δηλωθῆναι ἀπαιτῇ.
as-far-as — the account at each occasion to-be-shown requires

55.1 τοῦ δὲ μηκέτι προσωτέρω τῆς Εὐρώπης πλεῦσαι τὸν
of-the and no-longer farther — of-Europe to-sail the
Τρωικὸν στόλον οἵ τε χρησμοὶ αἴτιοι ἐγένοντο τέλος
Trojan expedition the both oracles the-cause were fulfillment
λαβόντες ἐν τούτοις τοῖς χωρίοις καὶ τὸ δαιμόνιον
having-received in these the places and the divinity
πολλαχῶς τὴν ἑαυτοῦ βούλησιν ἐνδεικνύμενον· ἐπειδὴ γὰρ
in-many-ways the its-own will showing when for
ὅρμῳ χρησάμενοι τῷ Λωρεντῷ σκηνὰς ἐπήξαντο περὶ
anchorage having-used — Laurentum huts they-pitched about
τὸν αἰγιαλόν, πρῶτον μὲν πιεζομένοις τοῖς ἀνθρώποις ὑπὸ
the beach first indeed being-oppressed the men by
δίψης οὐκ ἔχοντος ὕδωρ τοῦ τόπου (λέγω δὲ ἃ παρὰ
thirst not having water the place I-mean and what from
τῶν ἐγχωρίων παρέλαβον) λιβάδες αὐτόματοι νάματος
the natives I-received springs of-themselves of-water
ἡδίστου ἐκ γῆς ἀνελθοῦσαι ὤφθησαν, ἐξ ὧν ἥ τε
sweetest from earth having-come-up were-seen from which the both
στρατιὰ πᾶσα ὑδρεύσατο καὶ ὁ τόπος περίρρυτος γέγονε
army all drew-water and the place flowed-around became
μέχρι θαλάττης καταβάντος ἀπὸ τῶν πηγῶν τοῦ ῥεύματος.
as-far-as sea having-run-down from the sources the stream
55.2 νῦν μέντοι οὐκέτι πλήθουσιν ὥστε καὶ ἀπορρεῖν αἱ λιβάδες,
now however no-longer they-abound so-that also to-flow-off the springs
ἀλλ᾽ ἔστιν ὀλίγον ὕδωρ ἐν κοίλῳ χωρίῳ συνεστηκὸς,
but there-is little water in a-hollow place standing
λεγόμενον ὑπὸ τῶν ἐγχωρίων ἱερὸν ἡλίου· καὶ βωμοὶ
called by the natives sacred of-the-sun and altars
δύο παρ᾽ αὐτῷ δείκνυνται, ὁ μὲν πρὸς ἀνατολὰς
two by it are-shown the-one indeed toward risings
τετραμμένος, ὁ δὲ πρὸς δύσεις, Τρωικὰ ἱδρύματα, ἐφ᾽
turned the-other and toward settings Trojan foundations on

ὧν τὸν Αἰνείαν μυθολογοῦσι πρώτην θυσίαν ποιήσασθαι
which — Aeneas they-tell-in-myth first sacrifice to-have-made
τῷ θεῷ χαριστήριον τῶν ὑδάτων.
to-the god in-thanks for-the waters
ἔπειτα ἄριστον αὐτοῖς αἱρουμένοις ἐπὶ τοῦ δαπέδου 55.3
then lunch for-them taking on the ground
σέλινα μὲν πολλοῖς ὑπέστρωτο καὶ ἦν ταῦτα ὥσπερ
parsley indeed for-many had-been-strewn and were these as-if
τράπεζα τῶν ἐδεσμάτων· ὡς δέ φασί τινες, ἴτρια καρποῦ
a-table of-the foods as but say some cakes of-grain
πεποιημένα πυρίνου, καθαρειότητος ταῖς τροφαῖς ἕνεκα.
made of-wheat of-cleanliness for-the food for-the-sake
ἐπεὶ δὲ αἱ παρατεθεῖσαι τροφαὶ κατανάλωντο, τῶν
when and the set-before foods were-used-up of-the
ὑπεστρωμένων αὐτοῖς σελίνων εἴτε ἰτρίων ἔφαγέ τις καὶ
strewn for-them parsley or cakes ate someone and
αὖθις ἕτερος· ἐν τούτῳ τυγχάνει τις εἰπὼν εἴτε τῶν
again another in this happens someone having-said whether of-the
Αἰνείου παίδων, ὡς λόγος ἔχει, εἴτε τῶν ὁμοσκήνων,
of-Aeneas sons as the-account has or of-the tent-mates
Ἀλλ' ἡμῖν γε ἤδη καὶ ἡ τράπεζα κατεδήδεσται· ὡς
But for-us at-least already even the table has-been-eaten when
δὲ τοῦτο ἤκουσαν, ἅπαντες ἀνεθορύβησαν, ὡς τὰ πρῶτα
and this heard all raised-a-shout as the first
τοῦ μαντεύματος ἤδη σφίσι τέλος ἔχοι.
of-the oracle already for-them fulfillment had
ἦν γάρ τι θέσφατον αὐτοῖς, ὡς μέν τινες λέγουσιν ἐν 55.4
was for some oracle to-them as indeed some say in
Δωδώνῃ γενόμενον, ὡς δ' ἕτεροι γράφουσιν ἐν ἐρυθρᾷ
Dodona given as but others write in red
χέρσῳ τῆς Ἴδης, ἔνθα ᾤκει Σίβυλλα ἐπιχωρία νύμφη
land of-the Ida where dwelt Sibyl a-native nymph

χρησμῳδός, ἣ αὐτοῖς ἔφρασε πλεῖν ἐπὶ δυσμῶν ἡλίου,
oracle-singer who to-them told to-sail toward the-setting of-the-sun
τέως ἂν εἰς τοῦτο τὸ χωρίον ἔλθωσιν, ἐν ᾧ κατέδονται
until — to this the place they-should-come in which they-will-eat
τὰς τραπέζας· ὅταν δὲ τοῦτο μάθωσι γενόμενον, ἡγεμόνα
the tables when and this they-learn having-happened a-leader
τετράποδα ποιησαμένους, ὅπου ἂν κάμῃ τὸ ζῷον,
a-four-footed-beast having-made where — should-tire the animal
ἐνταῦθα δείμασθαι πόλιν.
there to-build a-city

55.5 τοῦτο δὴ τὸ θεοπρόπιον ἀναμνησθέντες, οἱ μὲν τὰ
this indeed the oracle having-recalled some indeed the
ἕδη τῶν θεῶν Αἰνείου κελεύσαντος εἰς τὸ ἀποδειχθὲν
images of-the gods Aeneas having-ordered to the appointed
χωρίον ἐκ τῆς νεὼς ἐξέφερον, οἱ δὲ βάθρα καὶ
place from the ship carried-out others and bases and
βωμοὺς κατεσκεύαζον αὐτοῖς, αἱ δὲ γυναῖκες ὀλολυγῇ
altars built for-them the and women with-ululation
καὶ χορείαις χρώμεναι παρεκόμιζον τὰ ἱερά, οἱ δὲ
and dances using escorted the sacred-objects those and
ἀμφὶ τὸν Αἰνείαν παρασκευασθείσης θυσίας ἔχοντες τοὺς
around — Aeneas having-been-prepared a-sacrifice having the
στεφάνους περὶ τὸν βωμὸν ἔστησαν.
garlands around the altar stood

56.1 ἐν ᾧ δὲ οὗτοι τὰς εὐχὰς ἐποιήσαντο, ἡ μέλλουσα
in which and these the prayers made the about-to
καθιεροῦσθαι ὗς ἐγκύμων οὖσα καὶ οὐ πρόσω τόκου
to-be-consecrated sow pregnant being and not far from-birth
καταρχομένων αὐτῆς τῶν θυτήρων διασεισαμένη καὶ
beginning-on her the sacrificers having-shaken-free and
ἀποφυγοῦσα τοὺς κατέχοντας ἄνω ἔθει. Αἰνείας δὲ
having-escaped those holding up ran Aeneas and

μαθὼν ὅτι ταύτην ἄρα τὴν τετράποδα ἡγεμόνα τὸ
having-learned that this then the four-footed-beast leader the
θέσφατον αὐτοῖς ἐδήλου παρηκολούθει σὺν ὀλίγοις μικρὸν
oracle to-them showed followed with few a-little
ὑπολειπόμενος, δεδοικὼς μὴ ὑπὸ θορύβου τῶν διωκόντων
lagging fearing lest by uproar of-the pursuers
ἀποτραπείη τῆς κατὰ δαίμονα ὁδοῦ.
it-might-be-turned from-the by divinity road
καὶ ἡ μὲν ἀμφὶ τοὺς εἴκοσι καὶ τέτταρας σταδίους 56.2
and she indeed about the twenty and four stades
ἀπὸ θαλάττης διελθοῦσα λόφον τινὰ προσανατρέχει,
from sea having-gone-through a-hill some runs-up
ἔνθα ὑπὸ καμάτου μοχθήσασα καθέζεται. τῷ δὲ Αἰνείᾳ
where from fatigue distressed sits-down — and to-Aeneas
(τέλος γὰρ τὰ μαντεύματα ἐφαίνετο ἔχειν) ὁρῶντι τὸ
fulfillment for the oracles seemed to-have seeing the
χωρίον γῆς τε οὐκ ἐν καλῷ καὶ θαλάττης πρόσω
place of-land both not in good-condition and from-sea far
καὶ οὐδὲ ταύτης ἐνορμίσασθαι ἀγαθῆς, πολλὴ παρίσταται
and not-even this to-anchor-in good much comes-upon
ἀμηχανία, πότερα χρὴ τῷ θεσφάτῳ πειθομένους
perplexity whether it-is-necessary to-the oracle obeying
αὐτοῦ κατοικεῖν, ἔνθα λυπηρὸν εἰσαεὶ βίον τρίψουσιν
there to-settle where miserable forever life they-will-wear-out
οὐδενὸς χρηστοῦ ἀπολαύοντες, ἢ προσωτέρω χωρητέον
of-nothing good enjoying or farther one-must-go
ἐπὶ γῆς ἀμείνονος μάστευσιν.
for of-land better search
ταῦτα δὲ αὐτῷ διανοουμένῳ καὶ τοὺς θεοὺς ἔχοντι δι' 56.3
these-things and to-him pondering and the gods holding in
αἰτίας ἄφνω λέγεται φωνή τις ἐκ τῆς νάπης ἀφανοῦς
blame suddenly is-said a-voice some from the glen invisible

ὄντος τοῦ φθεγγομένου προσπεσεῖν κελεύουσα μένειν τε
being the speaker to-fall-on-his-ears bidding to-stay both
αὐτόθι καὶ πολίζεσθαι διὰ ταχέων καὶ μὴ τῷ ἀπόρῳ
there and to-found-a-city with speed and not to-the difficulty
τῆς παρούσης δόξης ἐπιτρέψαντα, εἰ μὴ ἐν εὐβότῳ γῇ
of-the present opinion having-yielded if not in well-pastured land
τὸν βίον ἱδρύσεται, τὴν μέλλουσάν τε καὶ ὅσον οὔπω
the life he-shall-establish the coming both and so-much-as not-yet
παροῦσαν εὐτυχίαν ἀπώσασθαι.
present good-fortune to-thrust-away

56.4 εἶναι γὰρ αὐτῷ πεπρωμένον ἐκ ταύτης ὁρμώμενον τῆς
to-be for for-him destined from this setting-out the
λυπρᾶς καὶ ὀλίγης τὸ πρῶτον οἰκήσεως πολλὴν καὶ
wretched and small the first habitation much and
ἀγαθὴν ἐπικτήσασθαι γῆν σὺν χρόνῳ· παισὶ δὲ αὐτοῦ
good to-acquire land with time to-children and his
καὶ ἐγγόνοις ἔσεσθαι ἀρχὴν μεγίστην καὶ ἐπὶ πλεῖστον
and descendants to-be-going-to-be empire greatest and for longest
χρόνον ἐκμηκυνθησομένην ὑπάρξαι. ταύτην μὲν οὖν ἐν
time going-to-be-extended to-belong this indeed then in
τῷ παρόντι καταγωγὴν ἔσεσθαι τοῖς Τρωσί· μετὰ
the present a-landing-place to-be-going-to-be for-the Trojans after
δὲ τοσούτους ἐνιαυτοὺς ὅσους ἂν ἡ ὗς τέκῃ χοίρους
and as-many years as-many-as — the sow should-bear piglets
κτισθήσεσθαι πρὸς τῶν ἐξ ἐκείνου γενησομένων πόλιν
to-be-going-to-be-founded by those from him going-to-be-born a-city
ἑτέραν εὐδαίμονα καὶ μεγάλην. μαθόντα δὲ τὸν Αἰνείαν
another prosperous and great having-learned and — Aeneas
καὶ νομίσαντα δαιμόνιόν τι τὸ χρῆμα τῆς φωνῆς εἶναι
and having-thought divine some the thing of-the voice to-be
ποιεῖν ὡς ὁ θεὸς ἐκέλευεν.
to-do as the god ordered

ἕτεροι δὲ λέγουσιν ἀδημονοῦντι τῷ ἀνδρὶ καὶ παρεικότι 56.5
others and say being-distressed to-the man and having-let-slacken
τὸ σῶμα ὑπὸ λύπης καὶ οὔτε ἐπὶ τὸ στρατόπεδον
the body from grief and neither to the camp
καταβάντι οὔτε σῖτα προσενεγκαμένῳ, αὐτοῦ δὲ ὡς
having-gone-down nor food having-taken there and as
ἔτυχεν αὐλισθέντι τὴν νύκτ' ἐκείνην, ἐπιστῆναι μεγάλην
he-happened having-lodged the night that to-have-stood-over a-great
τινὰ καὶ θαυμαστὴν ἐνυπνίου τῶν θεῶν τινι τῶν
some and wonderful of-a-dream of-the gods one of-the
πατρίων εἰκασθεῖσαν ὄψιν τὰ λεχθέντα μικρῷ πρότερον
ancestral likened vision the-things said a-little before
ὑποτιθεμένην· ὁποτέρως δὲ τἀληθὲς ἔχει θεοῖς ἂν εἴη
suggesting in-whichever-way and the-truth is to-gods — would-be
γνώριμον. τῇ δ' ἑξῆς ἡμέρᾳ τριάκοντα λέγεται χοίρους
known on-the and next day thirty is-said piglets
ἡ ὗς ἐκτεκεῖν, καὶ τοσούτοις ἐνιαυτοῖς ὕστερον ὑπὸ τῶν
the sow to-have-borne and by-so-many years later by the
Τρώων ἑτέρα κτισθῆναι πόλις κατὰ τὸ θέσφατον,
Trojans another to-have-been-founded city according-to the oracle
ὑπὲρ ἧς ἐν τῷ οἰκείῳ τόπῳ διαλέξομαι.
about which in the proper place I-shall-discuss
Αἰνείας δὲ τῆς μὲν ὑὸς τὸν τόκον ἅμα τῇ γειναμένῃ 57.1
Aeneas and of-the indeed sow the litter together-with the having-borne-them
τοῖς πατρῴοις ἁγίζει θεοῖς ἐν τῷ χωρίῳ τῷδ', οὗ νῦν
to-the ancestral dedicates gods in the place this where now
ἐστιν ἡ καλιάς, καὶ αὐτὴν οἱ Λαουινιάται τοῖς ἄλλοις
is the hut and it the Lavinians to-the others
ἄβατον φυλάττοντες ἱερὰν νομίζουσι· τοῖς δὲ Τρωσὶ
untrodden keeping sacred consider to-the and Trojans
μεταστρατοπεδεῦσαι κελεύσας ἐπὶ τὸν λόφον ἱδρύεται τὰ
to-move-camp having-ordered to the hill he-founds the

ἕδη τῶν θεῶν ἐν τῷ κρατίστῳ καὶ αὐτίκα περὶ τὴν
images of-the gods in the best-place and at-once about the
κατασκευὴν τοῦ πολίσματος ἁπάσῃ προθυμίᾳ ὥρμητο
building of-the small-town with-all eagerness he-set-to
ἐλάμβανέ τε καταθέων ἐκ τῶν πέριξ χωρίων ὁπόσα
took both overrunning from the around places as-many-as
εἰς τὸν πολισμὸν αὐτῷ ἦν χρήσιμα καὶ μάλιστα ἔμελλε
for the city-building to-him were useful and most were-going
λυπηρὰ τοῖς ἀφαιρεθεῖσι φανήσεσθαι, σίδηρον καὶ ξύλα
painful to-those deprived to-appear iron and timber
καὶ τὰς γεωργικὰς παρασκευάς.
and the farming equipment

57.2 Λατίνῳ δὲ, ὃς ἦν τότε βασιλεύς, πολεμοῦντι πρὸς ἔθνος
to-Latinus and who was then king warring against a-nation
ὅμορον τοὺς καλουμένους Ῥοτόλους καὶ δυσημεροῦντι κατὰ
neighboring the called Rutulians and faring-ill in
τὰς μάχας ἀγγέλλεται τὰ γινόμενα ἐπὶ τὸ φοβερώτατον,
the battles are-announced the happenings in the most-fearful-way
ὡς ἀνάστατος αὐτοῦ γίνεται πᾶσα ἡ παράλιος ὑπερορίῳ
that being-laid-waste his is all the coast by-a-foreign
στρατιᾷ, καὶ εἰ μὴ σὺν τάχει κωλύσει τὰ δρώμενα χρυσὸς
army and if not with speed he-shall-prevent the doings gold
αὐτῷ φανήσεται ὁ πρὸς τοὺς ἀστυγείτονας ἀγών. ἀκούσαντι
to-him will-appear the against the neighbors struggle having-heard
δὲ τῷ ἀνδρὶ δέος εἰσέρχεται καὶ αὐτίκα τοῦ παρόντος
and to-the man fear comes-on-him and at-once the present
πολέμου μεθέμενος ἐπὶ τοὺς Τρῶας ἐλαύνει πολλῇ στρατιᾷ.
war having-given-up against the Trojans he-marches with-large army

57.3 ὁρῶν δὲ αὐτοὺς ὡπλισμένους τε ὡς Ἕλληνας καὶ ἐν
seeing and them armed both as Greeks and in
τάξει εὐκόσμῳ ἀκαταπλήκτως τὸ δεινὸν ὑπομένοντας,
order well-ordered fearlessly the danger awaiting

τῆς μὲν αὐτίκα παρακινδυνεύσεως, ὡς οὐκ ἂν ἐξ
from-the indeed immediate venture as not would by
ἐφόδου αὐτοὺς ἔτι χειρωσάμενος, ἣν ἔσχε διάνοιαν
assault them any-longer having-overcome which he-had intention
οἴκοθεν ὁρμώμενος, ἀποτρέπεται· στρατοπεδευσάμενος δ'
from-home setting-out he-turns-aside having-encamped and
ἐπὶ λόφου τινὸς τὸ πρῶτον ἀναλαβεῖν ᾤετο δεῖν τὴν
on a-hill some the first to-recover he-thought it-needful the
δύναμιν ἐκ τοῦ παρόντος κόπου, ὃς πολὺς ἐκ μακρᾶς
force from the present fatigue which great from long
ὁδοῦ καὶ συντόνου διώξεως αὐτοῖς ἐγένετο.
journey and strenuous pursuit to-them had-come
αὐλισάμενος δὲ διὰ νυκτὸς αὐτόθι γνώμην ἐποιεῖτο 57.4
having-bivouacked and through night there intention he-made
ἀρχομένης ἕω συμφέρεσθαι τοῖς πολεμίοις. ἐγνωκότι δὲ
beginning dawn to-engage the enemies having-decided and
αὐτῷ ταῦτα λέγει τις ἐπιστὰς καθ' ὕπνον ἐπιχώριος
to-him these-things says someone having-stood-over in sleep a-native
δαίμων δέχεσθαι τοὺς Ἕλληνας τῇ χώρᾳ συνοίκους·
divinity to-receive the Greeks in-the country as-fellow-dwellers
ἥκειν γὰρ αὐτοὺς μέγα ὠφέλημα Λατίνῳ καὶ κοινὸν
to-have-come for them a-great benefit for-Latinus and common
Ἀβοριγίνων ἀγαθόν· Αἰνείᾳ τε οἱ πατρῷοι θεοὶ τῆς αὐτῆς
for-Aborigines good to-Aeneas both the ancestral gods in-the same
νυκτὸς φανέντες παρακελεύονται πείθειν Λατῖνον ἑκόντα
night having-appeared urge to-persuade Latinus willingly
παρασχεῖν σφίσι τὴν οἴκησιν ἐν ᾧ βούλονται χωρίῳ,
to-provide for-them the habitation in which they-wish place
καὶ χρήσασθαι δυνάμει Ἑλληνικῇ συμμάχῳ μᾶλλον ἢ
and to-use force Greek as-ally rather than
διαφόρῳ· ἀμφοτέρους δὲ τὸ ὄναρ ἐκώλυεν ἄρχειν μάχης.
as-enemy both but the dream prevented to-begin battle

ὡς δὲ ἡμέρα τε ἐγένετο, καὶ διεκοσμήθησαν εἰς μάχην
when and day both came and were-drawn-up for battle
αἱ δυνάμεις, κήρυκες ἦκον ὡς τοὺς ἡγεμόνας ἑκατέρωθεν
the forces heralds came to the leaders on-each-side
τὸ αὐτὸ ἀξιοῦντες, συνελθεῖν ἀλλήλοις εἰς λόγους· καὶ
the same asking to-come-together with-one-another to talks and
ἐγένετο τοῦτο.
happened this

58–60 · THE TREATY WITH LATINUS

Latinus asked why Aeneas plundered his land; Aeneas answered that the Trojans were exiles led by the gods, and offered help in war. By a sworn treaty the Aborigines gave them land, forty stades from the hill each way, and both peoples fought the Rutulians together and walled the town. Aeneas named it Lavinium after Latinus' daughter Launa, or after a daughter of Anius, and portents, a wolf and an eagle feeding a fire against a fox, foretold its greatness. Aeneas married Launa, the peoples merged as Latins, and Dionysius lists the five peoples from whom the Romans sprang.

58.1 πρῶτος δὲ ὁ Λατῖνος ἔγκλημα ποιούμενος τὸν αἰφνίδιόν
first and — Latinus complaint making the sudden
τε καὶ ἀκατάγγελτον πόλεμον ἠξίου τὸν Αἰνείαν λέγειν,
both and undeclared war asked — Aeneas to-say
ὅστις ὢν καὶ τί βουλόμενος ἄγει καὶ φέρει τὰ χωρία
who being and what wishing he-carries-off and plunders the places
πεπονθώς τε οὐδὲν δεινὸν πρότερος καὶ οὐκ ἀγνοῶν ὅτι
having-suffered both nothing dreadful first and not unaware that
τὸν ἄρχοντα πολέμου πᾶς ὁ προπαθὼν ἀμύνεται·
the beginner of-war every the having-been-wronged-first wards-off
παρασχόν τε ἂν αὐτῷ πᾶν, εἴ τινος ἐδεῖτο μετρίου,
it-would-have-been-possible both — to-him everything if anything he-needed moderate

πρὸς φιλίαν καὶ παρ᾽ ἑκόντων εὑρίσκεσθαι τῶν ἐγχωρίων,
in friendship and from willing to-obtain the natives
παρελθὼν τὴν ἁπάντων ἀνθρώπων δικαίωσιν αἴσχιον ἢ
having-transgressed the of-all men just-claim more-shameful than
κάλλιον ἠξίωσε βίαν προσφέρων τὰ αὐτὰ λαμβάνειν.
more-honorable he-thought-fit force applying the same-things to-take
τοιαῦτα δὲ αὐτοῦ διαλεχθέντος ἀπεκρίνατο Αἰνείας· ἡμεῖς 58.2
such-things and him having-said answered Aeneas we
γένος μὲν Τρῶές ἐσμεν, πόλεως δὲ οὐ τῆς ἀφανεστάτης
by-race indeed Trojans are of-city but not the most-obscure
ἐν Ἕλλησιν ἐγενόμεθα· ἣν ἀφαιρεθέντες ὑπ᾽ Ἀχαιῶν
among Greeks we-were which having-been-deprived by Achaeans
δεκαετεῖ πολέμῳ χειρωθεῖσαν, ἀλῆται περιερχόμενοι πόλεώς
in-a-ten-year war conquered wanderers going-about of-city
τε καὶ χώρας ἐν ᾗ τὸ λοιπὸν οἰκήσομεν ἀπορίᾳ, θεοῖς
both and of-country in which the future we-shall-dwell for-want to-gods
δὲ κελεύουσι πειθόμενοι δεῦρ᾽ ἀφίγμεθα· καὶ ἡμῖν ὡς τὰ
but bidding obeying hither we-have-come and to-us as the
θέσφατα λέγει λιμὴν τῆς πλάνης ἥδε ἡ γῆ μόνη λείπεται.
oracles say haven of-the wandering this the land alone remains
ποριζόμεθα δὲ ἐκ τῆς χώρας ὧν ἡμῖν δεῖ δυστυχέστερον
we-provide and from the country what we need more-unfortunately
μᾶλλον ἢ εὐπρεπέστερον, ὡς ἥδιστα νεωστὶ ἐβουλόμεθα.
rather than more-seemly as most-gladly lately we-wished
ἀμειψόμεθα δὲ αὐτὰ πολλαῖς καὶ ἀγαθαῖς ἔργων ἀμοιβαῖς 58.3
we-shall-repay and them with-many and good of-deeds returns
παρέχοντες ὑμῖν καὶ σώματα καὶ ψυχὰς εὖ πρὸς τὰ δεινὰ
providing to-you both bodies and souls well for the dangers
πεπαιδευμένας χρῆσθαι ὁπόσα βούλεσθε, τὴν ὑμετέραν γῆν
trained to-use whatever you-wish the your land
φυλάττοντες ἀδῄωτον, τὴν δὲ τῶν πολεμίων προθύμως
keeping unravaged the and of-the enemies eagerly

συγκατακτώμενοι. ἱκέται δὲ ὑμῶν γινόμεθα μὴ πρὸς
helping-to-win suppliants and of-you we-become not in
ὀργὴν τὰ πεπραγμένα λαμβάνειν, ἐνθυμηθέντας ὡς οὐ
anger the having-been-done to-take having-considered that not
σὺν ὕβρει, ἀλλ' ὑπ' ἀνάγκης ταῦτα βιασθέντες ἐποιοῦμεν·
with insolence but by necessity these-things forced we-did
ἅπαν δὲ σύγγνωμον τὸ ἀκούσιον.
every and pardonable the involuntary

58.4 καὶ δεῖ ὑμᾶς μηδὲν ἐναντίον βουλεῦσαι περὶ ἡμῶν
and it-is-needful you nothing hostile to-plan about us
χεῖρας προεχομένων, εἰ δὲ μή, θεοὺς καὶ δαίμονας οἳ
hands holding-out if but not gods and divinities who
κατέχουσι τήνδε τὴν γῆν παραιτούμενοι συγγνώμονας
hold this the land beseeching pardoning
ἡμῖν γενέσθαι καὶ ὧν ἠναγκασμένοι δρῶμεν πειρασόμεθα
to-us to-be and what having-been-compelled we-do we-shall-try
πολέμου ἄρχοντας ὑμᾶς ἀμύνεσθαι. οὐ γὰρ ἂν νῦν πρώτου
of-war beginning you to-ward-off not for — now first
οὐδὲ μεγίστου πολέμου τοῦδε ἀπολαύσαιμεν.
nor greatest war this would-we-experience

58.5 ὡς δὲ ταῦτα ὁ Λατῖνος ἤκουσεν ἀπεκρίνατο πρὸς αὐτόν·
when and these-things — Latinus heard he-answered to him
ἀλλ' ἔγωγε εὔνοιάν τε πρὸς ἅπαν τὸ Ἑλληνικὸν γένος
but I goodwill both toward all the Greek race
ἔχω καὶ συμφοραῖς ἀνθρώπων ἀναγκαίαις πάνυ ἄχθομαι,
have and at-misfortunes of-men necessary very am-grieved
σώζεσθαί τε ὑμᾶς περὶ πολλοῦ ἂν ποιησαίμην, εἴ μοι δῆλοι
to-be-saved both you of much — I-would-make if to-me plain
γένοισθε οἰκήσεως δεόμενοι ἥκειν ἐν ἀποχρώσῃ τε
you-should-become habitation needing to-have-come in sufficient both
γῆς μοίρᾳ καὶ πρὸς φιλίαν τῶν δοθησομένων μεθέξοντες,
of-land a-share and in friendship of-the-things going-to-be-given going-to-share

ἀλλ᾽ οὐ τὴν ἐμὴν δυναστείαν ἀφαιρησόμενοι πρὸς βίαν. εἰ δ᾽
but not the my power going-to-take-away by force if and
ἐπαληθεύεται ὑμῖν ὅδ᾽ ὁ λόγος πίστεις τούτων ἀξιῶ δοῦναι
is-true for-you this the account pledges of-these I-think-fit to-give
καὶ λαβεῖν, αἳ φυλάξουσιν ἡμῖν ἀδόλους τὰς ὁμολογίας.
and to-receive which will-keep for-us guileless the agreements
Αἰνείου δὲ ἐπαινέσαντος τὰ λεγόμενα γίνονται συνθῆκαι 59.1
Aeneas and having-approved the-things said there-are treaties
τοῖς ἔθνεσιν ἐφ᾽ ὁρκίων τοιαίδε· Ἀβοριγῖνας μὲν Τρωσὶ
for-the nations upon oaths such Aborigines indeed to-Trojans
δοῦναι χώραν ὅσην ἠξίουν ἀμφὶ τοὺς τετταράκοντα
to-give land as-much-as they-asked about the forty
σταδίους πανταχοῦ πορευομένοις ἀπὸ τοῦ λόφου· Τρῶας δὲ
stades everywhere for-those-going from the hill Trojans and
Ἀβοριγῖσι τοῦ τ᾽ ἐν χερσὶ πολέμου συλλαβέσθαι καὶ ὅπου ἂν
to-Aborigines of-the both in hand war to-help and wherever —
ἄλλῃ παρακαλῶνται συστρατεύειν· κοινῇ δὲ ἀμφοτέρους
elsewhere they-are-summoned to-campaign-with in-common and both
τὰ κράτιστα ὑπὲρ ἀλλήλων πράττειν καὶ χειρὶ καὶ γνώμῃ.
the best for one-another to-do both with-hand and with-counsel
συνθέμενοι δὲ ταῦτα καὶ τέκνων ὁμηρείαις τὰς πίστεις 59.2
having-agreed and these-things and of-children by-hostages the pledges
βεβαιώσαντες κοινῇ στρατεύουσιν ἐπὶ τὰς πόλεις τῶν
having-confirmed in-common they-march against the cities of-the
Ῥοτόλων· δι᾽ ὀλίγου δὲ τἀκεῖ πάντα χειρωσάμενοι
Rutulians in little and the-things-there all having-subdued
παρῆσαν ἐπὶ τὸ πόλισμα τὸ Τρωικὸν ἡμιτελὲς ἔτ᾽ ὂν
they-came to the small-town the Trojan half-finished still being
καὶ μιᾷ προθυμίᾳ πάντες χρώμενοι τειχίζουσιν αὐτό.
and with-one eagerness all using wall it

59.3 ὄνομα δὲ τῷ κτίσματι Αἰνείας τίθεται Λαουΐνιον, ὡς
name and to-the foundation Aeneas gives Lavinium as
μὲν αὐτοὶ Ῥωμαῖοι λέγουσιν ἀπὸ τῆς Λατίνου θυγατρός,
indeed themselves Romans say from the of-Latinus daughter
ᾗ Λαῦναν εἶναί φασι τοὔνομα· ὡς δ' ἄλλοι τινὲς τῶν
whose Launa to-be they-say the-name as but others some of-the
Ἑλληνικῶν μυθογράφων ἔλεξαν, ἀπὸ τῆς Ἀνίου τοῦ Δηλίων
Greek mythographers said from the of-Anius the of-Delians
βασιλέως θυγατρός, Λαύνας καὶ τῆσδε ὀνομαζομένης, ἧς
king daughter Launa also this-one named who
ἀποθανούσης νόσῳ περὶ τὸν οἰκισμὸν τῆς πόλεως πρώτης
having-died of-disease about the settlement of-the city first
καὶ ἐν ᾧ ἔκαμε χωρίῳ ταφείσης μνῆμα γενέσθαι τὴν
and in which she-sickened place having-been-buried a-memorial to-have-become the
πόλιν. συμπλεῦσαι δ' αὐτὴν τοῖς Τρωσὶ λέγεται δοθεῖσαν
city to-have-sailed-with and her the Trojans is-said having-been-given
ὑπὸ τοῦ πατρὸς Αἰνείᾳ δεηθέντι μαντικὴν οὖσαν καὶ σοφήν.
by the father to-Aeneas having-asked prophetic being and wise
59.4 λέγεται δὲ κατὰ τὸν πολισμὸν τοῦ Λαουϊνίου σημεῖα τοῖς
is-said and at the founding — of-Lavinium signs to-the
Τρωσὶ γενέσθαι τοιάδε· πυρὸς αὐτομάτως ἀναφθέντος
Trojans to-have-happened such fire spontaneously having-been-kindled
ἐκ τῆς νάπης λύκον μὲν κομίζοντα τῷ στόματι τῆς
from the glen a-wolf indeed bringing in-the mouth of-the
ξηρᾶς ὕλης ἐπιβάλλειν ἐπὶ τὸ πῦρ, ἀετὸν δὲ προσπετόμενον
dry wood to-throw on the fire an-eagle and flying-up
ἀναρριπίζειν τῇ κινήσει τῶν πτερύγων τὴν φλόγα· τούτοις
to-fan with-the movement of-the wings the flame to-these
δὲ τἀναντία μηχανωμένην ἀλώπεκα τὴν οὐρὰν διάβροχον
and the-opposite contriving a-fox the tail soaked
ἐκ τοῦ ποταμοῦ φέρουσαν ἐπιρραπίζειν τὸ καιόμενον πῦρ,
from the river bringing to-beat-upon the burning fire

καὶ τοτὲ μὲν τοὺς ἀνάπτοντας ἐπικρατεῖν, τοτὲ δὲ
and at-one-time indeed those kindling to-prevail at-another and
τὴν ἀποσβέσαι βουλομένην· τέλος δὲ νικῆσαι τοὺς δύο,
the-one to-put-out wishing finally and to-conquer the two
καὶ τὴν ἑτέραν οἴχεσθαι μηδὲν ἔτι ποιεῖν δυναμένην.
and the other to-go-off nothing any-longer to-do being-able
ἰδόντα δὲ τὸν Αἰνείαν εἰπεῖν ὡς ἐπιφανὴς μὲν ἔσται καὶ 59.5
having-seen and — Aeneas to-have-said that conspicuous indeed will-be and
θαυμαστὴ καὶ γνώσεως ἐπὶ πλεῖστον ἥξουσα ἡ ἀποικία,
wonderful and of-fame to farthest going-to-come the colony
ἐπίφθονος δὲ τοῖς πέλας αὐξομένη καὶ λυπηρά, κρατήσει δ'
envied but by-the neighbors growing and troublesome will-prevail but
ὅμως τῶν ἀντιπραττόντων κρείττονα τὴν ἐκ τοῦ θείου
nevertheless over-those opposing stronger the from the divine
τύχην λαβοῦσα τοῦ παρ' ἀνθρώπων ἐναντιωσομένου
fortune having-received than-the from men going-to-oppose
φθόνου. ταῦτα μὲν δὴ οὕτω περιφανῆ μηνύματα
envy these-things indeed indeed so manifest tokens
λέγεται γενέσθαι τῶν συμβησομένων τῇ πόλει, καὶ
are-said to-have-been of-the-things going-to-befall the city and
ἔστιν αὐτῶν μνημεῖα ἐν τῇ Λαουϊνιατῶν ἀγορᾷ χαλκᾶ
are of-them memorials in the of-Lavinians forum bronze
εἴδωλα τῶν ζῴων ἐκ πολλοῦ πάνυ χρόνου διατηρούμενα.
images of-the animals from much very time preserved
ἐπειδὴ δὲ κατεσκευάσθη τοῖς Τρωσὶν ἡ πόλις, ἐπιθυμία 60.1
when and was-built for-the Trojans the city desire
πάντας ἴσχεν ἰσχυρὰ τοῦ παρ' ἀλλήλων ἀπολαῦσαι
all held strong of-the from one-another to-enjoy
χρησίμου, καὶ οἱ βασιλεῖς αὐτῶν πρῶτοι ἄρχουσι μίξαντες
usefulness and the kings their first begin having-mingled
τοῦ τε ἐπιχωρίου καὶ τοῦ ἐπήλυδος γένους τὴν ἀξίωσιν
of-the both native and of-the immigrant race the dignity

ἐπὶ συναλλαγαῖς γάμου, δόντος Λατίνου τὴν θυγατέρα
by connections of-marriage having-given Latinus the daughter
Λαῦναν Αἰνείᾳ γυναῖκα.
Launa to-Aeneas as-wife

60.2 ἔπειτα καὶ οἱ ἄλλοι τὴν αὐτὴν τοῖς βασιλεῦσιν ἐπιθυμίαν
then also the others the same as-the kings desire
λαβόντες καὶ δι' ὀλίγου πάνυ χρόνου συνενεγκάμενοι
having-taken and in little very time having-brought-together
ἔθη καὶ νόμους καὶ θεῶν ἱερά, κηδείας τε συνάψαντες
customs and laws and of-gods rites marriages both having-joined
ἀλλήλοις καὶ κοινωνίαις πολέμων ἀνακερασθέντες, οἱ
with-one-another and by-partnerships of-wars having-been-blended the
σύμπαντες κοινῇ ὀνομασίᾳ προσαγορεύοντες ἑαυτοὺς
all by-a-common name calling themselves
ἀπὸ τοῦ βασιλέως τῶν Ἀβοριγίνων Λατίνους, οὕτω
from the king of-the Aborigines Latins so
βεβαίως ἔμειναν ἐπὶ τοῖς συγκειμένοις, ὥστ' οὐδεὶς αὐτοὺς
firmly remained in the agreements that no them
ἔτι χρόνος ἀπ' ἀλλήλων διέστησε.
any-longer time from one-another separated

60.3 τὰ μὲν δὴ συνελθόντα ἔθνη καὶ κοινωσάμενα τοὺς
the indeed indeed having-come-together nations and having-shared the
βίους, ἐξ ὧν τὸ Ῥωμαίων γένος ὥρμηται, πρὶν ἦν νῦν
lives from which the of-Romans race sprang before which now
ἔχουσιν οἰκισθῆναι πόλιν, ταῦτά ἐστιν· Ἀβοριγῖνες μὲν
they-have to-be-founded city these are Aborigines indeed
πρῶτον, οἳ Σικελοὺς ἐξανέστησαν ἐκ τούτων τῶν χωρίων,
first who Sicels expelled from these the places
Ἕλληνες ὄντες τὸ ἀρχαῖον ἐκ Πελοποννήσου τῶν σὺν
Greeks being the of-old from Peloponnese of-those with
Οἰνώτρῳ μετενεγκαμένων τὴν οἴκησιν ἐκ τῆς καλουμένης
Oenotrus having-moved the habitation from the called

νῦν Ἀρκαδίας, ὡς ἐγὼ πείθομαι· ἔπειθ' οἱ μεταναστάντες
now Arcadia as I am-persuaded then those having-migrated
ἐκ τῆς τότε μὲν Αἱμονίας, νῦν δὲ Θετταλίας καλουμένης,
from the then indeed Haemonia now but Thessaly called
Πελασγοί· τρίτοι δὲ οἱ σὺν Εὐάνδρῳ παραγενηθέντες
Pelasgians third and those with Evander having-come
εἰς Ἰταλίαν ἐκ Παλλαντίου πόλεως· μετὰ δὲ τούτους
to Italy from Pallantium city after and these
τῶν σὺν Ἡρακλεῖ στρατευομένων Πελοποννησίων Ἐπειοί
of-the with Heracles campaigning Peloponnesians Epeans
τε καὶ Φενεᾶται, οἷς καὶ Τρωικόν τι ἐμμέμικται·
both and Pheneats with-whom also Trojan some is-mixed
τελευταῖοι δὲ οἱ διασωθέντες σὺν Αἰνείᾳ Τρῶες ἐξ Ἰλίου
last and those having-escaped with Aeneas Trojans from Ilium
τε καὶ Δαρδάνου καὶ τῶν ἄλλων Τρωικῶν πόλεων.
both and Dardanus and the other Trojan cities

61–64 · AENEAS' GREEK DESCENT AND DEATH

The Trojans too were Greeks. Dardanus, son of Zeus and Electra, Atlas' daughter, left flooded Arcadia, settled Samothrace and then the Troad, and his line runs to Aeneas, son of Anchises and Aphrodite. Dionysius dates Lavinium's founding to the second year after Troy fell. Aeneas reigned over the Trojans and, when Latinus fell fighting the Rutulians and Tyrrhenus, cousin of Latinus' wife, over the Latins too. After three years he fell fighting the Rutulians and Mezentius; his body was never found, and the Latins built him a hero-shrine by the Numicius.

ὅτι δὲ καὶ τὸ τῶν Τρώων ἔθνος Ἑλληνικὸν ἐν τοῖς 61.1
that and also the of-the Trojans nation Greek among the
μάλιστα ἦν ἐκ Πελοποννήσου ποτὲ ὡρμημένον, εἴρηται
most was from Peloponnese once sprung has-been-said

μὲν καὶ ἄλλοις τισὶ πάλαι, λεχθήσεται δὲ καὶ πρὸς ἐμοῦ
indeed also by-others some long-ago will-be-said and also by me
δι᾽ ὀλίγων. ἔχει δὲ ὁ λόγος περὶ αὐτῶν ὧδε· Ἄτλας γίνεται
in few has and the account about them thus Atlas becomes
βασιλεὺς πρῶτος ἐν τῇ καλουμένῃ νῦν Ἀρκαδίᾳ, ᾤκει
king first in the called now Arcadia dwelt
δὲ περὶ τὸ λεγόμενον Καυκώνιον ὄρος. τούτῳ θυγατέρες
and about the called Caucon mountain to-him daughters
ἦσαν ἑπτὰ αἱ νῦν ἐν οὐρανῷ κατηστερίσθαι λεγόμεναι
were seven those now in heaven to-have-been-made-stars said
Πλειάδες ἐπίκλησιν, ὧν μίαν μὲν Ἠλέκτραν Ζεὺς γαμεῖ
Pleiades by-name of-whom one indeed Electra Zeus marries
καὶ γεννᾷ παῖδας ἐξ αὐτῆς Ἴασον καὶ Δάρδανον.
and begets sons from her Iasus and Dardanus
61.2 Ἴασος μὲν οὖν ἠίθεος μένει, Δάρδανος δὲ ἄγεται γυναῖκα
Iasus indeed then unmarried remains Dardanus and takes as-wife
Χρύσην Πάλλαντος θυγατέρα, ἐξ ἧς αὐτῷ γίνονται
Chryse of-Pallas daughter from whom to-him are-born
παῖδες Ἰδαῖος καὶ Δείμας. οὗτοι τέως μὲν ἐν Ἀρκαδίᾳ
sons Idaeus and Deimas these for-a-while indeed in Arcadia
παραλαβόντες τὴν Ἄτλαντος δυναστείαν ἐβασίλευον, ἔπειτα
having-received the of-Atlas power reigned then
κατακλυσμοῦ γενομένου μεγάλου περὶ τὴν Ἀρκαδίαν τὰ
a-flood having-come great about — Arcadia the
μὲν πεδία ἐξελιμνώθη καὶ πολλοῦ χρόνου γεωργεῖσθαι
indeed plains became-a-lake and for-much time to-be-farmed
ἀδύνατα ἦν, οἱ δὲ ἄνθρωποι (ᾤκουν γὰρ ἀνὰ τὰ ὄρη
impossible were the and men dwelt for on the mountains
γλίσχρως ποριζόμενοι τὰς τροφάς) συμφρονήσαντες ὡς οὐχ
scantily providing the food having-agreed that not
ἱκανὴ βόσκειν ἔσται πάντας ἡ περιοῦσα γῆ νέμονται σφᾶς
sufficient to-feed will-be all the remaining land divide them

αὐτοὺς διχῇ· καὶ αὐτῶν οἱ μὲν ἐν Ἀρκαδίᾳ ὑπομένουσι
themselves in-two and of-them some indeed in Arcadia remain
βασιλέα καταστησάμενοι Δείμαντα τὸν Δαρδάνου, οἱ δὲ
king having-appointed Deimas the son-of-Dardanus the and
λοιποὶ ἀπανίστανται Πελοποννήσου στόλῳ μεγάλῳ.
rest depart from-Peloponnese with-an-expedition great
ποιούμενοι δὲ τὸν πλοῦν παρὰ τὴν Εὐρώπην εἰς τὸν Μέλανα 61.3
making and the voyage along — Europe to the Black
καλούμενον ἀφικνοῦνται κόλπον καὶ τυγχάνουσιν ἐν νήσῳ
called they-arrive gulf and happen in an-island
τινὶ τῆς Θράκης ὁρμισάμενοι, ἣν οὐκ ἔχω εἰπεῖν εἴτε
some — of-Thrace having-anchored which not I-can to-say whether
ἦν οἰκουμένη καὶ πρότερον, εἴτ' ἔρημος· ᾗ τίθενται
it-was inhabited also before or deserted to-which they-give
τοὔνομα σύνθετον ἔκ τε ἀνδρὸς καὶ τόπου, Σαμοθράκην·
the-name compounded from both a-man and a-place Samothrace
τὸ μὲν γὰρ χωρίον τῆς Θράκης, ὁ δὲ οἰκιστὴς Σάμων,
the indeed for place — of-Thrace the and founder Samon
υἱὸς Ἑρμοῦ καὶ νύμφης Κυλληνίδος Ῥήνης ὀνομαζομένης.
son of-Hermes and of-a-nymph Cyllenian Rhene named
ἐκεῖ δὲ χρόνον οὐ πολὺν διατρίψαντες, ὡς οὐκ εὐμαρὴς ἦν ὁ 61.4
there and time not long having-stayed since not easy was the
βίος αὐτοῖς γῇ τε λυπρᾷ καὶ θαλάττῃ ἀγρίᾳ μαχομένοις,
life to-them with-land both poor and sea wild fighting
ὀλίγους τινὰς ἐν τῇ νήσῳ λειπόμενοι ἀπανίστανται πάλιν
few some in the island leaving depart again
οἱ πλείους εἰς τὴν Ἀσίαν ἔχοντες ἡγεμόνα τῆς ἀποικίας
the most to — Asia having as-leader of-the colony
Δάρδανον· Ἴασος γὰρ ἐν τῇ νήσῳ κεραυνῷ πληγεὶς
Dardanus Iasus for in the island by-a-thunderbolt struck
τελευτᾷ Δήμητρος εὐνῆς ὀριγνώμενος· ποιησάμενοί τε
dies of-Demeter bed reaching-for having-made both

τὴν ἀπόβασιν ἐν τῷ καλουμένῳ νῦν Ἑλλησπόντῳ περὶ
the landing in the called now Hellespont about
τὴν ὕστερον κληθεῖσαν οἰκίζονται Φρυγίαν, Ἰδαῖος μὲν ὁ
the later called they-settle Phrygia Idaeus indeed the
Δαρδάνου μέρος τῆς στρατιᾶς ἔχων ἐν τοῖς ὄρεσιν, ἃ
son-of-Dardanus part of-the army having in the mountains which
νῦν Ἰδαῖα ἀπ᾽ ἐκείνου λέγεται, ἔνθα μητρὶ θεῶν ἱερὸν
now Idaean from him are-called where to-the-mother of-the-gods a-temple
ἱδρυσάμενος ὄργια καὶ τελετὰς κατεστήσατο, αἳ καὶ
having-founded mysteries and rites established which also
εἰς τόδε χρόνου διαμένουσιν ἐν ἁπάσῃ Φρυγίᾳ· Δάρδανος
to this of-time remain in all Phrygia Dardanus
δ᾽ ἐν τῇ καλουμένῃ νῦν Τρωάδι πόλιν ὁμώνυμον αὑτῷ
and in the called now Troad a-city named-after himself
κατασκευάσας, δόντος αὐτῷ τὰ χωρία Τεύκρου βασιλέως,
having-built having-given to-him the land Teucer the-king
ἀφ᾽ οὗ Τευκρὶς τὸ ἀρχαῖον ἡ γῆ ἐλέγετο·
from whom Teucris the of-old the land was-called
61.5 τοῦτον δὲ ἄλλοι τε πολλοὶ καὶ Φανόδημος ὁ τὴν
him and others both many and Phanodemus the-one the
Ἀττικὴν γράψας ἀρχαιολογίαν ἐκ τῆς Ἀττικῆς μετοικῆσαί
Attic having-written antiquities from — Attica to-have-migrated
φασιν εἰς τὴν Ἀσίαν δήμου Ξυπεταιέως ἄρχοντα καὶ πολλὰ
say to — Asia of-the-deme Xypete ruler and many
παρέχονται τοῦ λόγου τεκμήρια. κρατήσαντα δὲ χώρας
offer of-the account proofs having-mastered and land
συχνῆς τε καὶ ἀγαθῆς καὶ οὐ πολὺ τὸ ἐπιχώριον ἐχούσης
much both and good and not much the native having
γένος ἀσμένως τὸν Δάρδανον ἰδεῖν καὶ τὸ σὺν αὐτῷ
race gladly — Dardanus to-have-seen and the with him

παραγενόμενον Ἑλληνικόν, τῶν τε πρὸς τοὺς βαρβάρους
having-come Greek-band of-the both against the barbarians
πολέμων συμμαχίας ἕνεκα καὶ ἵνα ἡ γῆ μὴ ᾖ ἔρημος.
wars of-alliance for-the-sake and so-that the land not be deserted
ἀπαιτεῖ δὲ ὁ λόγος καὶ τὸν Αἰνείαν ἐξ ὧν ἔφυ 62.1
requires and the account also — Aeneas from what-stock he-was-born
διηγήσασθαι· βραχείᾳ δὴ καὶ τοῦτο δηλώσει σημανῶ.
to-relate by-a-brief indeed also this explanation I-shall-indicate
Δάρδανος ἐπειδὴ Χρύσην τὴν Πάλλαντος θυγατέρα, ἐξ
Dardanus when Chryse the of-Pallas daughter from
ἧς οἱ πρότεροι παῖδες ἐγένοντο αὐτῷ, τελευτῆσαι
whom the earlier sons were-born to-him to-die
συνέπεσε, Βάτειαν γαμεῖ τὴν Τεύκρου θυγατέρα· καὶ
it-happened Bateia marries the of-Teucer daughter and
γίνεται παῖς αὐτῷ Ἐριχθόνιος, ὃς ἁπάντων ἀνθρώπων
is-born a-son to-him Erichthonius who of-all men
εὐδαιμονέστατος λέγεται γενέσθαι τῆς τε πατρῴας καὶ
most-prosperous is-said to-have-been of-the both paternal and
τῆς ὑπὸ τῷ μητροπάτορι γενομένης κληρονομήσας ἀρχῆς.
of-the under the maternal-grandfather having-been having-inherited rule
Ἐριχθονίου δὲ καὶ Καλλιρρόης τῆς Σκαμάνδρου γίνεται 62.2
of-Erichthonius and and Callirrhoe the daughter-of-Scamander is-born
Τρώς, ἀφ' οὗ τὴν ἐπωνυμίαν τὸ ἔθνος ἔχει· Τρωὸς δὲ
Tros from whom the name the nation has of-Tros and
καὶ Ἀκαλλαρίδος τῆς Εὐμήδους Ἀσσάρακος ἦν· τούτου
and Acallaris the daughter-of-Eumedes Assaracus was of-him
δὲ καὶ Κλυτοδώρας τῆς Λαομέδοντος Κάπυς· Κάπυος
and and Clytodora the daughter-of-Laomedon Capys of-Capys
δὲ καὶ νύμφης Ναϊάδος Ἱερομνήμης Ἀγχίσης· Ἀγχίσου
and and a-nymph Naiad Hieromneme Anchises of-Anchises

δὲ καὶ Ἀφροδίτης Αἰνείας. ὡς μὲν δὴ καὶ τὸ Τρωικὸν
and and Aphrodite Aeneas that indeed indeed also the Trojan
γένος Ἑλληνικὸν ἀρχῆθεν ἦν δεδήλωταί μοι.
race Greek from-the-beginning was has-been-shown by-me
63.1 περὶ δὲ τῶν χρόνων ἐν οἷς ἐκτίσθη τὸ Λαουΐνιον ἄλλοι
about and the times in which was-founded — Lavinium others
μὲν ἄλλως λέγουσιν· ἐμοὶ μέντοι δοκοῦσιν οἱ δευτέρῳ μετὰ
indeed otherwise say to-me however seem those in-the-second after
τὴν ἔξοδον τὴν ἐκ Τροίας ἔτει φέροντες αὐτὴν εἰκότα
the departure the from Troy year placing it probable-things
μᾶλλον λέγειν. Ἴλιος μὲν γὰρ ἑάλω τελευτῶντος ἤδη τοῦ
more to-say Ilium indeed for was-taken ending already the
θέρους, ἑπτακαίδεκα πρότερον ἡμέραις τῆς θερινῆς τροπῆς,
summer seventeen before days of-the summer solstice
ὀγδόῃ φθίνοντος μηνὸς Θαργηλιῶνος, ὡς Ἀθηναῖοι τοὺς
on-the-eighth of-the-waning month Thargelion as Athenians the
χρόνους ἄγουσι, περιτταὶ δὲ ἦσαν αἱ τὸν ἐνιαυτὸν ἐκεῖνον
times reckon remaining and were the the year that
ἐκπληροῦσαι μετὰ τὴν τροπὴν εἴκοσιν ἡμέραι. ἐν δὴ ταῖς
completing after the solstice twenty days in indeed the
ἑπτὰ καὶ τριάκοντα ταῖς ἀπὸ τῆς ἁλώσεως διαγενομέναις
seven and thirty the from the capture having-elapsed
τά τε περὶ τὴν πόλιν οἴομαι διοικήσασθαι τοὺς
the-things both about the city I-think to-have-arranged the
Ἀχαιοὺς καὶ τὰς πρεσβείας ἐπιδέξασθαι τὰς παρὰ τῶν
Achaeans and the embassies to-have-received the from those
ἀφεστηκότων καὶ τὰ ὅρκια ποιήσασθαι πρὸς αὐτούς·
having-revolted and the oaths to-have-made with them
63.2 τῷ δ' ἑξῆς ἔτει, πρώτῳ δὲ μετὰ τὴν ἅλωσιν ὑπὸ
in-the and next year first and after the capture about
τὴν μετοπωρινὴν ἰσημερίαν ἄραντες οἱ Τρῶες ἐκ τῆς
the autumnal equinox having-set-sail the Trojans from the

γῆς περαιοῦνται τὸν Ἑλλήσποντον καὶ καταχθέντες εἰς
land cross the Hellespont and having-put-in to
τὴν Θρᾴκην αὐτοῦ διατρίβουσι τὴν χειμερινὴν ὥραν
— Thrace there spend the winter season
δεχόμενοί τε τοὺς ἐπισυνιόντας ἐκ τῆς φυγῆς καὶ
receiving both those gathering from the flight and
παρασκευαζόμενοι τὰ εἰς τὸν ἀπόπλουν. ἐκ δὲ τῆς
preparing the-things for the voyage from and —
Θρᾴκης ἀναστάντες ἔαρος ἀρχομένου τελοῦσι τὸν μεταξὺ
Thrace having-set-out spring beginning complete the between
πλοῦν ἄχρι Σικελίας· ἐκεῖ δὲ ὁρμισαμένοις αὐτοῖς τὸ
voyage as-far-as Sicily there and having-anchored them the
ἔτος τοῦτο τελευτᾷ, καὶ διατρίβουσι τὸν δεύτερον χειμῶνα
year this ends and they-spend the second winter
τὰς πόλεις συνοικίζοντες τοῖς Ἐλύμοις ἐν Σικελίᾳ.
the cities founding-together with-the Elymians in Sicily
πλοΐμων δὲ γενομένων ἄραντες ἀπὸ τῆς νήσου περῶσι 63.3
navigable-seasons and having-come having-set-sail from the island cross
τὸ Τυρρηνικὸν πέλαγος καὶ τελευτῶντες εἰς Λωρεντὸν
the Tyrrhenian sea and finally to Laurentum
ἀφικνοῦνται τὸν Ἀβοριγίνων αἰγιαλὸν μεσούσης θερείας.
arrive the of-Aborigines beach being-in-the-middle summer
λαβόντες δὲ τὸ χωρίον οἰκίζουσιν ἐν αὐτῷ Λαουΐνιον
having-received and the place they-found in it Lavinium
τὸν δεύτερον ἀπὸ τῆς ἁλώσεως ἐκπληρώσαντες ἐνιαυτόν.
the second from the capture having-completed year
καὶ περὶ μὲν τούτων ὡς ἔχω δόξης δεδήλωταί μοι.
and about indeed these-things as I-hold opinion has-been-shown by-me
Αἰνείας δὲ κατασκευάσας ἱεροῖς τε καὶ τοῖς ἄλλοις 64.1
Aeneas and having-furnished with-temples both and the other
κόσμοις ἀποχρώντως τὴν πόλιν, ὧν τὰ πλεῖστα ἔτι καὶ
adornments sufficiently the city of-which the most still even

εἰς ἐμὲ ἦν, τῷ μὲν ἑξῆς ἐνιαυτῷ, τρίτῳ δὲ ἀπὸ τῆς ἐξόδου,
to me were in-the indeed next year third and from the departure
Τρώων ἐβασίλευσε μόνων· τῷ δὲ τετάρτῳ τελευτήσαντος
over-Trojans reigned only in-the and fourth having-died
Λατίνου καὶ τὴν ἐκείνου βασιλείαν παραλαμβάνει τῆς τε
Latinus also the his kingship he-takes-over by-the both
κηδείας οἰκειότητι τῆς πρὸς αὐτὸν ἐπικλήρου τῆς Λαύνας
marriage relationship the toward him heiress — Launa
γενομένης μετὰ τὸν Λατίνου θάνατον καὶ τοῦ πρὸς τοὺς
having-become after the of-Latinus death and of-the against the
ἀστυγείτονας πολέμου τῆς στρατηγίας ἕνεκα.
neighbors war of-the command for-the-sake
64.2 ἀπέστησαν γὰρ αὖθις ἀπὸ τοῦ Λατίνου Ῥότολοι λαβόντες
revolted for again from — Latinus Rutulians having-taken
ἡγεμόνα τῶν αὐτομόλων τινὰ τῆς Λατίνου γυναικὸς Ἀμίτας
as-leader of-the deserters one of-the of-Latinus wife Amita
ἀνεψιὸν ὄνομα Τυρρηνόν. ὁ δὲ ἀνὴρ οὗτος ἐπὶ τῷ γάμῳ
cousin by-name Tyrrhenus the and man this at the marriage
τῆς Λαύνας τὸν κηδεστὴν μεμφόμενος, ὅτι παρελθὼν
— of-Launa the kinsman blaming that having-passed-over
τὸ συγγενὲς ὀθνείοις ἐκήδευσε, τῆς τε Ἀμίτας
the kinship to-strangers he-allied-by-marriage — both Amita
παροξυνούσης καὶ ἄλλων τινῶν συλλαμβανόντων ἄγων τὴν
inciting and others some helping leading the
δύναμιν, ἧς αὐτὸς ἦρχε, προστίθεται τοῖς Ῥοτόλοις.
force which he-himself commanded joins the Rutulians
64.3 πολέμου δ' ἐκ τῶν ἐγκλημάτων τούτων γενομένου καὶ
war and from the complaints these having-arisen and
μάχης ἰσχυρᾶς Λατῖνός τε ἀποθνήσκει καὶ Τυρρηνὸς καὶ
battle strong Latinus both dies and Tyrrhenus and
τῶν ἄλλων συχνοί, κρατοῦσι δ' ὅμως οἱ σὺν Αἰνείᾳ.
of-the others many prevail but nevertheless those with Aeneas

ἐκ δὲ τούτου τὴν ὑπὸ τῷ κηδεστῇ γενομένην ἀρχὴν
from and this the under the kinsman having-been rule
Αἰνείας παραλαμβάνει. τρία δὲ βασιλεύσας ἔτη μετὰ τὴν
Aeneas takes-over three and having-reigned years after the
Λατίνου τελευτὴν τῷ τετάρτῳ θνήσκει κατὰ πόλεμον.
of-Latinus death in-the fourth dies in war
Ῥότολοί τε γὰρ ἐκ τῶν πόλεων στρατεύουσιν ἅπαντες 64.4
Rutulians both for from the cities march all
ἐπ᾽ αὐτὸν, καὶ σὺν αὐτοῖς βασιλεὺς Τυρρηνῶν Μεσέντιος
against him and with them king of-Tyrrhenians Mezentius
δείσας περὶ τῆς αὑτοῦ χώρας, ἤδη γὰρ ἐπὶ μέγα
having-feared about the his-own land already for to great
χωροῦσαν τὴν Ἑλληνικὴν ὁρῶν δύναμιν ἤχθετο. μάχης δὲ
advancing the Greek seeing power he-was-vexed battle and
γενομένης καρτερᾶς οὐ πρόσω τοῦ Λαουϊνίου καὶ πολλῶν
having-taken-place strong not far — from-Lavinium and many
ἑκατέρωθεν ἀπολομένων τὰ μὲν στρατεύματα νυκτὸς
on-each-side having-perished the indeed armies night
ἐπελθούσης διελύθη, τὸ δὲ Αἰνείου σῶμα φανερὸν οὐδαμῇ
having-come-on were-parted the but of-Aeneas body visible nowhere
γενόμενον οἱ μὲν εἰς θεοὺς μεταστῆναι εἴκαζον, οἱ
having-been some indeed to gods to-have-been-translated conjectured others
δ᾽ ἐν τῷ ποταμῷ, παρ᾽ ὃν ἡ μάχη ἐγένετο, διαφθαρῆναι.
and in the river beside which the battle took-place to-have-perished
καὶ αὐτῷ κατασκευάζουσιν οἱ Λατῖνοι ἡρῷον ἐπιγραφῇ 64.5
and for-him build the Latins a-hero-shrine with-inscription
τοιᾶδε κοσμούμενον· πατρὸς θεοῦ χθονίου, ὃς ποταμοῦ
such adorned of-the-father god chthonic who of-the-river
Νομικίου ῥεῦμα διέπει. εἰσὶ δ᾽ οἳ λέγουσιν ἐπ᾽ Ἀγχίσῃ
Numicius stream governs there-are and who say for Anchises
κατασκευασθῆναι αὐτὸ ὑπ᾽ Αἰνείου, ἐνιαυτῷ πρότερον τοῦ
to-have-been-built it by Aeneas in-the-year before the

πολέμου τούτου τελευτήσαντι. ἔστι δὲ χωμάτιον οὐ μέγα
war this having-died is and a-small-mound not great
καὶ περὶ αὐτὸ δένδρα στοιχηδὸν πεφυκότα θέας ἄξια.
and around it trees in-rows growing of-sight worthy

65–70 · ASCANIUS, ALBA, AND THE PENATES

Besieged in Lavinium, Ascanius refused Mezentius' demand for the Latins' wine, vowed the vintage to Zeus, and in a night sally took the camp of Mezentius' son Lausus; Mezentius made peace and stayed a friend. Thirty years after Lavinium, Ascanius founded Alba Longa. The Penates twice returned to Lavinium, and six hundred settlers went back to tend them; Dionysius takes them for the Samothracian great gods and the Palladium the Vestals keep. Silvius, Aeneas' son by Launa, succeeded Ascanius, and Ascanius' son Iulus, ancestor of the Julii, was given a priesthood.

65.1 Αἰνείου δ' ἐξ ἀνθρώπων μεταστάντος ἑβδόμῳ μάλιστα
Aeneas and from men having-departed in-the-seventh about
ἔτει μετὰ τὴν Ἰλίου ἅλωσιν Εὐρυλέων παρέλαβε τὴν Λατίνων
year after the of-Ilium capture Euryleon took-over the of-Latins
ἡγεμονίαν ὁ μετονομασθεὶς Ἀσκάνιος ἐν τῇ φυγῇ. ἦσαν
leadership the-one renamed Ascanius in the flight were
δὲ τειχήρεις οἱ Τρῶες ἐν τῷ χρόνῳ τούτῳ, καὶ τοῖς μὲν
and walled-in the Trojans in the time this and to-the indeed
πολεμίοις ἀεὶ προσῄει δύναμις, αἱ δὲ τῶν Λατίνων ἀδύνατοι
enemies always came-up force the but of-the Latins unable
ἦσαν τοῖς ἐν τῷ Λαουϊνίῳ πολιορκουμένοις ἐπικουρεῖν.
were to-those in — Lavinium besieged to-bring-help
65.2 τὸ μὲν δὴ πρῶτον εἰς φιλίαν τε καὶ συνθήκας μετρίας
the indeed indeed first to friendship both and terms moderate
προὐκαλοῦντο τοὺς πολεμίους οἱ περὶ τὸν Ἀσκάνιον·
invited the enemies those around — Ascanius

ὡς δ᾽ οὐδὲν προσεῖχον αὐτοῖς, ἐπιτρέπειν ἐκείνοις
when but nothing they-paid-heed to-them to-yield to-them
ἠναγκάζοντο καταλύσασθαι τὸν πόλεμον ἐφ᾽ οἷς
they-were-compelled to-end the war on whatever-terms
ἂν αὐτοὶ δικαιῶσι. τοῦ δὲ βασιλέως τῶν Τυρρηνῶν τά
— they should-judge-right the but king of-the Tyrrhenians the
τε ἄλλα ὡς δεδουλωμένοις ἀφόρητα ἐπιτάσσοντος καὶ
both other-things as to-enslaved-men intolerable imposing and
τὸν οἶνον ὅσον ἂν ἡ Λατίνων γῆ φέρῃ Τυρρηνοῖς
the wine as-much-as — the of-Latins land should-bear for-Tyrrhenians
ἀπάγειν ἀνὰ πᾶν ἔτος, οὐκ ἀνασχετὸν ἡγησάμενοι τὸ
to-carry-off throughout every year not endurable thinking the
πρᾶγμα τῆς μὲν ἀμπέλου τὸν καρπὸν ἱερὸν ἐψηφίσαντο
thing of-the indeed vine the fruit sacred they-voted
τοῦ Διὸς εἶναι γνώμην ἀγορεύσαντος Ἀσκανίου, αὐτοὶ δὲ
— of-Zeus to-be the-proposal having-made Ascanius themselves and
ἀλλήλοις παρακελευσάμενοι προθύμοις ἀγωνισταῖς γενέσθαι
one-another having-urged eager contenders to-become
καὶ θεοὺς αἰτησάμενοι συλλαβέσθαι τοῦ κινδυνεύματος
and gods having-asked to-help in-the venture
ἐξῆλθον ἐκ τῆς πόλεως φυλάξαντες νύκτ᾽ ἀσέληνον.
went-out from the city having-watched-for a-night moonless
εὐθὺς δὲ προσβαλόντες τῷ χάρακι τῶν πολεμίων, ὃς 65.3
at-once and having-attacked the camp of-the enemies which
ἐγγυτάτω τῆς πόλεως ἔκειτο καὶ ἦν προτείχισμα τῆς ἄλλης
nearest the city lay and was an-outwork of-the other
δυνάμεως ἐν ἐρυμνῷ τε κατεσκευασμένος χωρίῳ καὶ τὴν
force in a-strong both built place and the
κρατίστην νεότητα Τυρρηνῶν ἔχων, ἧς ἡγεῖτο Μεσεντίου
best youth of-Tyrrhenians having which led of-Mezentius
παῖς Λαῦσος ὄνομα, οὐδενὸς προιδομένου τὴν ἔφοδον
son Lausus by-name no-one having-foreseen the attack

αἱροῦσιν εὐπετῶς τὸ ὀχύρωμα. ἐν ᾧ δὲ τὸ χωρίον τοῦτο
they-take easily the stronghold in which and the place this
ἡλίσκετο, φῶς τε ἄκαιρον ὁρῶντες οἱ ἐν τοῖς πεδίοις
was-being-taken light both untimely seeing those in the plains
ἐστρατοπεδευκότες καὶ βοὴν τῶν ἀπολλυμένων ἀκούοντες
having-encamped and shouting of-the perishing hearing
ἔφευγον ἐκλιπόντες τοὺς πεδινοὺς τόπους ἐπὶ τὰ ὄρη.
fled having-left the level places to the mountains
65.4 ἐν δὲ τούτῳ πολλὴ ἐγένετο ταραχὴ καὶ θόρυβος, οἷα ἐν
in and this much arose confusion and uproar such-as in
νυκτὶ κινουμένης στρατιᾶς, ὡς αὐτίκα μάλα τῶν πολεμίων
night an-army moving as at-once very the enemies
σφίσιν ἐπιθησομένων οὐ σὺν κόσμῳ οὐδὲ κατὰ τέλη τὴν
on-them going-to-fall not with order nor by companies the
ἔλασιν ποιουμένοις· οἱ δὲ Λατῖνοι, ἐπειδὴ τό τε φρούριον
march making the and Latins when the both fort
ἐξ ἐφόδου κατειλήφεσαν καὶ τὸ ἄλλο στράτευμα ἔμαθον
by assault they-had-taken and the other army learned
τεταραγμένον, ἐπέκειντο αὐτοῖς κτείνοντες καὶ διώκοντες.
confused pressed-on them killing and pursuing
τῶν δ' οὐχ ὅπως τις πρὸς ἀλκὴν τραπέσθαι ἐπεχείρησεν,
of-these and not only-not anyone to resistance to-turn attempted
ἀλλ' οὐδὲ μαθεῖν ἐν οἷς ἦσαν κακοῖς ἠδύνατο· ὑπὸ δὲ
but not-even to-learn in what they-were evils could by and
θορύβου καὶ ἀμηχανίας οἱ μὲν κατὰ κρημνῶν φερόμενοι
uproar and helplessness some indeed down cliffs rushing
διεφθείροντο, οἱ δ' εἰς φάραγγας ἀνεξόδους ἐμπίπτοντες
perished others and into ravines without-exit falling
ἡλίσκοντο, οἱ δὲ πλεῖστοι ἀγνοήσαντες ἀλλήλους ἀνὰ τὸ
were-caught the and most not-recognizing one-another in the

σκότος ὅσα πολεμίους διέθεσαν, καὶ ὁ πλεῖστος αὐτῶν
darkness as enemies treated and the greatest of-them
φθόρος ἀλληλοκτόνος ἐγίνετο.
destruction mutual-slaughter was
Μεσέντιος δὲ σὺν ὀλίγοις λόφον τινὰ καταλαβών, ἐπειδὴ 65.5
Mezentius and with few a-hill some having-seized when
τοῦ παιδὸς τὸν μόρον ἐπύθετο καὶ ὅσος αὐτῷ στρατὸς
of-the son the fate he-learned and how-great to-him army
διέφθαρτο ἐν οἵῳ τε χωρίῳ κατακεκλεικὼς ἑαυτὸν
had-perished in what-kind-of both place having-shut-in himself
ἦν, ὡς ὢν ἐν ἀπορίᾳ χρήματος, ἔπεμψε κήρυκας εἰς
he-was as being in want of-means sent heralds to
τὸ Λαουΐνιον περὶ φιλίας διαλεξομένους, Ἀσκανίου δὲ
— Lavinium about friendship going-to-negotiate Ascanius and
τοῖς Λατίνοις ταμιεύεσθαι τὴν τύχην συμβουλεύοντος
the Latins to-husband the fortune advising
ἄδειαν εὑρόμενος ἀπῆλθεν ὑπόσπονδος μεθ' ὅσης εἶχε
safe-conduct having-obtained he-departed under-truce with as-much-as he-had
δυνάμεως καὶ τὸν ἀπὸ τοῦδε χρόνον ἅπαντα διαλυσάμενος
force and the from this time all having-ended
τὴν ἔχθραν πρὸς τοὺς Λατίνους βέβαιος φίλος ἦν.
the enmity toward the Latins a-firm friend was
τριακοστῷ δὲ ὕστερον ἔτει μετὰ τὴν κτίσιν τοῦ Λαουϊνίου 66.1
in-the-thirtieth and later year after the founding — of-Lavinium
πόλιν ἑτέραν οἰκίζει κατὰ τὸ γενόμενον Αἰνείᾳ θέσφατον
a-city another founds according-to the given to-Aeneas oracle
Ἀσκάνιος ὁ Αἰνείου καὶ μετάγει τούς τ' ἐκ Λαουϊνίου
Ascanius the son-of-Aeneas and transfers those both from Lavinium
καὶ τῶν ἄλλων Λατίνων ὅσοις ἦν βουλομένοις ἄμεινον
and of-the other Latins as-many-as it-was wishing better
οἰκεῖν εἰς τὴν νεόκτιστον, ὄνομα τῇ πόλει θέμενος
to-dwell to the newly-founded name to-the city having-given

Ἄλβαν. ἔστι δ' ἡ Ἄλβα καθ' Ἑλλάδα γλῶσσαν Λευκή,
Alba is and — Alba in Greek tongue White
σαφηνισμοῦ δ' ἕνεκα διορίζεται παρ' ἑτέραν πόλιν
of-distinction and for-the-sake it-is-distinguished from another city
ὁμώνυμον ἐπικλήσει τὸ σχῆμα ἐπικατηγορούσῃ, καί ἐστιν
named-the-same by-a-surname the shape describing and is
ὥσπερ σύνθετον ἤδη τοὔνομα ἐξ ἀμφοῖν Ἄλβα λόγγα,
as-if compounded now the-name from both Alba Longa
τοῦτο δ' ἔστι Λευκὴ μακρά.
this and is White long
66.2 νῦν μὲν οὖν ἔρημός ἐστιν· ἐπὶ γὰρ Ὁστιλίου Τύλλου
now indeed then deserted it-is under for Hostilius Tullus
Ῥωμαίων βασιλέως στασιάζειν δόξασα πρὸς τὴν ἀποικίαν
of-Romans king to-be-at-odds having-seemed with the colony
περὶ τῆς ἀρχῆς ἀνῃρέθη· τὸ δ' ἐν αὐτῇ πολιτευόμενον
about the supremacy it-was-destroyed the and in it living-as-citizens
πλῆθος ἡ καθελοῦσα τὴν μητρόπολιν ὑπεδέξατο Ῥώμη.
multitude the having-destroyed the mother-city received Rome
ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἱκνουμένοις χρόνοις ἐγένετο, ἡνίκα
but these-things indeed in the coming times happened when
δὲ ᾠκίζετο πρὸς ὄρει καὶ λίμνῃ κατεσκευάσθη τὸ μέσον
and it-was-founded by a-mountain and a-lake it-was-built the middle
ἐπέχουσα ἀμφοῖν, καὶ ἦν ὥσπερ τείχη τῆς πόλεως ταῦτα
occupying of-both and were as-it-were walls of-the city these
δυσάλωτον αὐτὴν ποιοῦντα. τό τε γὰρ ὄρος ἐν τοῖς πάνυ
hard-to-take it making the both for mountain among the very
ὀχυρόν τε καὶ ὑψηλόν ἐστιν ἥ τε λίμνη βαθεῖα καὶ μεγάλη,
strong both and high is the both lake deep and great
καὶ αὐτὴν διὰ κλισιάδων ἀνοιγομένων ὑποδέχεται τὸ πεδίον
and it through sluice-gates being-opened receives the plain
ταμιευομένων ὁπόσον βούλονται τῶν ἀνθρώπων τὸ ὕδωρ.
regulating as-much-as they-wish the men the water

ὑπόκειται δὲ τῇ πόλει πεδία θαυμαστὰ μὲν ἰδεῖν, πλούσια 66.3
lies-below and the city plains wonderful indeed to-see rich
δὲ καὶ οἴνους καὶ καρποὺς ἐξενεγκεῖν παντοδαποὺς καὶ
and both wines and crops to-bear of-all-kinds and
οὐδὲν ἐνδεεστέρους τῆς ἄλλης Ἰταλίας, μάλιστα δὲ
in-nothing inferior than-the other Italy most and
τὸν καλούμενον Ἀλβανὸν οἶνον ἡδὺν καὶ καλόν, ἔξω
the called Alban wine sweet and fine except
τοῦ Φαλερίνου λεγομένου τῶν γοῦν ἄλλων ἁπάντων
the Falernian called of-the at-least other all
διαφορώτατον.
most-excellent
ἐν δὲ τῇ κτίσει τῆς πόλεως θαῦμα μέγιστον λέγεται 67.1
in and the founding of-the city wonder greatest is-said
γενέσθαι. κατασκευασθέντος τοῖς ἕδεσι τῶν θεῶν, οὓς
to-have-happened having-been-built for-the images of-the gods which
Αἰνείας ἐκ τῆς Τρωάδος ἠνέγκατο καὶ καθίδρυσεν ἐν
Aeneas from the Troad brought and established in
τῷ Λαουϊνίῳ, ναοῦ χωρίον ἔχοντος ἄβατον καὶ τῶν
— Lavinium a-temple a-place having untrodden and the
ἱδρυμάτων ἐκ τοῦ Λαουϊνίου μετακομισθέντων εἰς τοῦτον
statues from — Lavinium having-been-transferred to this
τὸν μυχόν, ὑπὸ τὴν ἐπιοῦσαν νύκτα κεκλεισμένων τε ὡς
the inner-shrine during the following night shut both as
μάλιστα τῶν θυρῶν καὶ οὐδὲν παθόντων οὔτε περιβόλων
most the doors and nothing having-suffered neither enclosures
οὔτε ὀροφῶν διαμείψαντα τὰ βρέτη τὴν στάσιν ἐπὶ τῶν
nor roofs having-changed the images the position on the
ἀρχαίων εὑρεθῆναι κείμενα βάθρων·
old to-have-been-found lying bases

67.2 μετακομισθέντα δὲ αὖθις ἐκ τοῦ Λαουϊνίου σὺν ἱκετείαις
having-been-transferred and again from — Lavinium with supplications
καὶ θυσίαις ἀρεστηρίοις εἰς τὸ αὐτὸ χωρίον ὁμοίως
and sacrifices propitiatory to the same place likewise
ἀνελθεῖν. τοὺς δὲ ἀνθρώπους τέως μὲν ἀπορεῖν ὅ
to-have-gone-back the and men for-a-while indeed to-be-at-a-loss what
τι χρήσονται τοῖς πράγμασιν οὔτε δίχα τῶν πατρῴων
ever they-should-do with-the affairs neither without the ancestral
θεῶν οἰκεῖν ἀξιοῦντας οὔτε ἐπὶ τὴν ἐκλειφθεῖσαν οἴκησιν
gods to-dwell thinking-it-right nor to the abandoned habitation
αὖθις ἀναστρέφειν, τελευτῶντας δὲ γνώμην εὑρέσθαι,
again to-return finally and a-plan to-have-found
ἣ ἔμελλεν ἀποχρώντως πρὸς ἀμφότερα ἕξειν· τὰ
which was-going sufficiently for both to-hold the
μὲν ἕδη κατὰ χώραν ἐᾶσαι μένειν, ἄνδρας δὲ τοὺς
indeed images in place to-allow to-remain men and those
ἐπιμελησομένους αὐτῶν ἐκ τῆς Ἄλβας εἰς τὸ Λαουΐνιον
going-to-take-care-of them from — Alba to — Lavinium
αὖθις ἐποίκους μεταγαγεῖν. καὶ ἐγένοντο οἱ πεμφθέντες
again as-settlers to-transfer and were those sent
ἑξακόσιοι μελεδωνοὶ τῶν ἱερῶν αὐτοῖς μεταναστάντες
six-hundred keepers of-the sacred-objects with-their having-migrated
ἐφεστίοις· ἡγεμὼν δ' ἐπ' αὐτοῖς ἐτάχθη Αἴγεστος.
households leader and over them was-appointed Aegestus

67.3 τοὺς δὲ θεοὺς τούτους Ῥωμαῖοι μὲν Πενάτας καλοῦσιν·
the and gods these Romans indeed Penates call
οἱ δ' ἐξερμηνεύοντες εἰς τὴν Ἑλλάδα γλῶσσαν τοὔνομα
those and translating into the Greek tongue the-name
οἱ μὲν Πατρῴους ἀποφαίνουσιν, οἱ δὲ Γενεθλίους,
some indeed Patrooi render others and Genethlioi
εἰσὶ δ' οἳ Κτησίους, ἄλλοι δὲ Μυχίους, οἱ δὲ
there-are and who Ktesioi others and Mychioi others and

Ἑρκείους. ἔοικε δὲ τούτων ἕκαστος κατά τινος τῶν
Herkeioi seems and of-these each from one of-the
συμβεβηκότων αὐτοῖς ποιεῖσθαι τὴν ἐπίκλησιν κινδυνεύουσί
attributes their to-make the name are-likely
τε πάντες ἁμωσγέπως τὸ αὐτὸ λέγειν.
both all in-some-way the same to-say
σχήματος δὲ καὶ μορφῆς αὐτῶν πέρι Τίμαιος μὲν ὁ 67.4
of-shape and and form their about Timaeus indeed the
συγγραφεὺς ὧδε ἀποφαίνεται· κηρύκια σιδηρᾶ καὶ χαλκᾶ
historian thus declares heralds'-staffs iron and bronze
καὶ κέραμον Τρωικὸν εἶναι τὰ ἐν τοῖς ἀδύτοις τοῖς ἐν
and earthenware Trojan to-be the in the inner-shrines the in
Λαουϊνίῳ κείμενα ἱερά, πυθέσθαι δὲ αὐτὸς ταῦτα παρὰ
Lavinium lying sacred-objects to-have-learned and himself these-things from
τῶν ἐπιχωρίων. ἐγὼ δὲ ὅσα μὲν ὁρᾶν ἅπασιν οὐ θέμις
the natives I but as-many-as indeed to-see for-all not lawful
οὔτε παρὰ τῶν ὁρώντων ἀκούειν οὔτε ἀναγράφειν οἶομαι
neither from those seeing to-hear nor to-record I-think
δεῖν, νεμεσῶν δὲ καὶ τοῖς ἄλλοις, ὅσοι πλείω τῶν
it-needful being-indignant and also with-the others as-many-as more than-the
συγχωρουμένων ὑπὸ νόμου ζητεῖν ἢ γινώσκειν ἀξιοῦσιν.
permitted by law to-seek or to-know think-fit
ἃ δὲ αὐτός τε ἰδὼν ἐπίσταμαι καὶ δέος οὐδὲν ἀποκωλύει 68.1
what and myself both having-seen I-know and fear nothing prevents
με περὶ αὐτῶν γράφειν τοιάδε ἐστί· νεὼς ἐν Ῥώμῃ δείκνυται
me about them to-write such is a-temple in Rome is-shown
τῆς ἀγορᾶς οὐ πρόσω κατὰ τὴν ἐπὶ Καρίνας φέρουσαν
the forum not far on the to Carinae leading
ἐπίτομον ὁδὸν ὑπεροχῇ σκοτεινὸς ἱδρυμένος οὐ μέγας. λέγεται
short-cut road by-the-height dark built not large is-called
δὲ κατὰ τὴν ἐπιχώριον γλῶτταν ὑπ' Ἐλαίας τὸ χωρίον. ἐν
and in the native tongue under Velia the place in

δὲ τούτῳ κεῖνται τῶν Τρωικῶν θεῶν εἰκόνες, ἃς ἅπασιν
and this lie of-the Trojan gods images which for-all
ὁρᾶν θέμις, ἐπιγραφὴν ἔχουσαι δηλοῦσαν τοὺς Πενάτας.
to-see lawful an-inscription having showing the Penates
68.2 εἰσὶ δὲ νεανίαι δύο καθήμενοι δόρατα διειληφότες, τῆς
are and youths two seated spears holding of-the
παλαιᾶς ἔργα τέχνης. πολλὰ δὲ καὶ ἄλλα ἐν ἱεροῖς
ancient works art many and also others in temples
ἀρχαίοις εἴδωλα τῶν θεῶν τούτων ἐθεασάμεθα, καὶ
ancient images of-the gods these we-saw and
ἐν ἅπασι νεανίσκοι δύο στρατιωτικὰ σχήματα ἔχοντες
in all young-men two military dress having
φαίνονται. ὁρᾶν μὲν δὴ ταῦτα ἔξεστιν, ἀκούειν δὲ
appear to-see indeed indeed these-things is-allowed to-hear and
καὶ γράφειν ὑπὲρ αὐτῶν, ἃ Καλλίστρατός τε ὁ
also to-write about them what Callistratus both the-one
περὶ Σαμοθρᾴκης συνταξάμενος ἱστορεῖ καὶ Σάτυρος
about Samothrace having-composed relates and Satyrus
ὁ τοὺς ἀρχαίους μύθους συναγαγὼν καὶ ἄλλοι συχνοί,
the-one the ancient myths having-collected and others many
παλαιότατος δὲ ὧν ἡμεῖς ἴσμεν ποιητὴς Ἀρκτῖνος.
most-ancient and of-whom we know poet Arctinus
68.3 λέγουσι γοῦν ὧδε· Χρύσην τὴν Πάλλαντος θυγατέρα
they-say at-least thus Chryse the of-Pallas daughter
γημαμένην Δαρδάνῳ φερνὰς ἐπενέγκασθαι δωρεὰς Ἀθηνᾶς τά
having-married Dardanus as-dowry to-have-brought gifts of-Athena the
τε Παλλάδια καὶ τὰ ἱερὰ τῶν μεγάλων θεῶν διδαχθεῖσαν
both Palladia and the sacred-objects of-the great gods having-been-taught
αὐτῶν τὰς τελετάς. ἐπειδὴ δὲ τὴν ἐπομβρίαν φεύγοντες
their the rites when and the heavy-rain fleeing
Ἀρκάδες Πελοπόννησον μὲν ἐξέλιπον, ἐν δὲ τῇ Θρᾳκίᾳ νήσῳ
Arcadians Peloponnese indeed left in and the Thracian island

τοὺς βίους ἱδρύσαντο, κατασκευάσαι τὸν Δάρδανον ἐνταῦθα
the lives established to-have-built — Dardanus there
τῶν θεῶν τούτων ἱερὸν ἀρρήτους τοῖς ἄλλοις ποιοῦντα
of-the gods these a-temple secret to-the others making
τὰς ἰδίους αὐτῶν ὀνομασίας καὶ τὰς τελετὰς αὐτοῖς τὰς
the own their names and the rites for-them the
καὶ εἰς τόδε χρόνου γινομένας ὑπὸ Σαμοθρᾳκων ἐπιτελεῖν.
also to this of-time performed by Samothracians to-celebrate
ὡς δὲ μετῆγε τοῦ λεὼ τὴν πλείω μοῖραν εἰς τὴν 68.4
when and he-was-transferring of-the people the greater share to —
Ἀσίαν τὰ μὲν ἱερὰ τῶν θεῶν καὶ τὰς τελετὰς τοῖς
Asia the indeed sacred-objects of-the gods and the rites to-those
ὑπομείνασιν ἐν τῇ νήσῳ καταλιπεῖν· τὰ δὲ Παλλάδια
having-remained in the island to-have-left the and Palladia
καὶ τὰς τῶν θεῶν εἰκόνας κατασκευασάμενον ἀγαγέσθαι
and the of-the gods images having-made to-have-taken
μετ᾽ αὐτοῦ. διαμαντευόμενον δὲ περὶ τῆς οἰκήσεως τά
with him consulting-the-oracle and about the settlement the-things
τε ἄλλα μαθεῖν καὶ περὶ τῶν ἱερῶν τῆς φυλακῆς
both other to-have-learned and about of-the sacred-objects the guarding
τόνδε τὸν χρησμὸν λαβεῖν·
this the oracle to-have-received

εἰς πόλιν ἣν κτίζῃσθα θεοῖς σέβας ἄφθιτον αἰεὶ
in the-city which you-shall-found for-the-gods worship unfailing forever
θεῖναι, καὶ φυλακαῖς τε σέβειν θυσίαις τε χοροῖς τε.
to-set and with-guards both to-revere with-sacrifices both with-dances both

ἔστ᾽ ἂν γὰρ τάδε σεμνὰ καθ᾽ ὑμετέρην χθόνα μίμνῃ
as-long — for these holy-things in your land remain
δῶρα Διὸς κούρης ἀλόχῳ σέθεν, ἡ δὲ πόλις σοι
gifts of-Zeus daughter for-the-wife your the and city for-you
ἔσται ἀπόρθητος τὸν ἀεὶ χρόνον ἤματα πάντα.
shall-be unsacked for-the all time days all

69.1 Δάρδανον μὲν ἐν τῇ κτισθείσῃ τε ὑφ᾽ ἑαυτοῦ καὶ ὀνομασίας
Dardanus indeed in the founded both by himself and name
ὁμοίας τυχούσῃ πόλει τὰ ἕδη καταλιπεῖν, Ἰλίου δ᾽ ἐν
like having-got city the images to-have-left Ilium and in
ὑστέρῳ χρόνῳ συνοικισθέντος ἐκεῖσε μετενεχθῆναι πρὸς
later time having-been-founded thither to-have-been-transferred by
τῶν ἐγγόνων αὐτοῦ τὰ ἱερά. ποιήσασθαι δὲ τοὺς Ἰλιεῖς
the descendants his the sacred-objects to-have-made and the Ilians
νεών τε καὶ ἄδυτον αὐτοῖς ἐπὶ τῆς ἄκρας καὶ φυλάττειν
a-temple both and inner-shrine for-them on the citadel and to-have-guarded
δι᾽ ἐπιμελείας ὅσης ἐδύναντο πλείστης θεόπεμπτά τε
with care as-much-as they-could the-most sent-by-the-gods both
ἡγουμένους εἶναι καὶ σωτηρίας κύρια τῇ πόλει.
thinking to-be and of-safety decisive for-the city

69.2 ἁλισκομένης δὲ τῆς κάτω πόλεως τὸν Αἰνείαν καρτερὸν
being-taken and the lower city — Aeneas master
τῆς ἄκρας γενόμενον, ἄραντα ἐκ τῶν ἀδύτων τά
of-the citadel having-become having-taken-up from the inner-shrines the
τε ἱερὰ τῶν μεγάλων θεῶν καὶ ὅπερ ἔτι περιῆν
both sacred-objects of-the great gods and what still survived
Παλλάδιον (θάτερον γὰρ Ὀδυσσέα καὶ Διομήδην νυκτός
Palladium the-other for Odysseus and Diomedes by-night

φασιν εἰς Ἴλιον ἀφικομένους κλοπῇ λαβεῖν) οἴχεσθαί τε
they-say into Ilium having-come by-theft to-have-taken to-have-gone-off both
κομίσαντα ἐκ τῆς πόλεως καὶ ἐλθεῖν ἄγοντα εἰς Ἰταλίαν.
having-carried from the city and to-have-come bringing to Italy
Ἀρκτῖνος δέ φησιν ὑπὸ Διὸς δοθῆναι Δαρδάνῳ 69.3
Arctinus but says by Zeus to-have-been-given to-Dardanus
Παλλάδιον ἓν καὶ εἶναι τοῦτο ἐν Ἰλίῳ τέως ἡ
Palladium one and to-be this in Ilium until the
πόλις ἡλίσκετο κεκρυμμένον ἐν ἀβάτῳ· εἰκόνα δ'
city was-being-taken hidden in an-untrodden-place an-image and
ἐκείνου κατεσκευασμένην ὡς μηδὲν τῆς ἀρχετύπου
of-that made so-as in-nothing from-the original
διαφέρειν ἀπάτης τῶν ἐπιβουλευόντων ἕνεκεν ἐν φανερῷ
to-differ of-deception of-those plotting for-the-sake in public
τεθῆναι καὶ αὐτὴν Ἀχαιοὺς ἐπιβουλεύσαντας λαβεῖν.
to-have-been-placed and it Achaeans having-plotted to-have-taken
τὰ μὲν οὖν εἰς Ἰταλίαν ὑπ' Αἰνείου κομισθέντα ἱερὰ 69.4
the indeed then to Italy by Aeneas brought sacred-objects
τοῖς εἰρημένοις ἀνδράσι πειθόμενος γράφω τῶν τε
the mentioned men believing I-write of-the both
μεγάλων θεῶν εἰκόνας εἶναι, οὓς Σαμοθρᾷκες Ἑλλήνων
great gods images to-be whom Samothracians of-Greeks
μάλιστα ὀργιάζουσι, καὶ τὸ μυθευόμενον Παλλάδιον, ὅ
most worship-in-mysteries and the told-in-myth Palladium which
φασι τὰς ἱερὰς φυλάττειν παρθένους ἐν ναῷ κείμενον
they-say the holy guard virgins in a-temple lying
Ἑστίας, ἔνθα καὶ τὸ ἀθάνατον διασώζεται πῦρ· ὑπὲρ ὧν
of-Vesta where also the undying is-preserved fire about which
ἐν ὑστέρῳ λεχθήσεται λόγῳ. εἴη δ' ἂν καὶ παρὰ
in a-later will-be-said book there-might-be and — also besides

ταῦτα τοῖς βεβήλοις ἡμῖν ἄδηλα ἕτερα. καὶ περὶ μὲν
these to-the uninitiated to-us unknown other-things and about indeed
τῶν Τρωικῶν ἱερῶν τοσαῦτα εἰρήσθω.
the Trojan sacred-objects so-much let-be-said

70.1 Ἀσκανίου δὲ ὀγδόῳ καὶ τριακοστῷ ἔτει τῆς βασιλείας
Ascanius and in-the-eighth and thirtieth year of-the reign
τελευτήσαντος παρέλαβε τὴν ἡγεμονίαν Σιλούιος ἀδελφὸς
having-died took-over the leadership Silvius brother
ὢν Ἀσκανίου, μετὰ τὸν Αἰνείου θάνατον γενόμενος ἐκ
being of-Ascanius after the of-Aeneas death born from
Λαύνας τῆς Λατίνου θυγατρός, ὅν φασιν ἐν τοῖς ὄρεσιν
Launa the of-Latinus daughter whom they-say in the mountains
ὑπὸ τῶν νομέων ἐκτραφῆναι.
by the herdsmen to-have-been-reared

70.2 τοῦ γὰρ Ἀσκανίου παραλαβόντος τὴν βασιλείαν περιδεὴς
— for Ascanius having-taken-over the kingship terrified
ἡ Λαῦνα γενομένη μή τι δεινὸν ὑπ᾽ αὐτοῦ πάθῃ
— Launa having-become lest something dreadful by him she-should-suffer
κατὰ τὸ τῆς μητρυιᾶς ὄνομα, ἐγκύμων οὖσα δίδωσιν
according-to the of-the stepmother name pregnant being gives
ἑαυτὴν Τυρρηνῷ τινι συοφορβίων ἐπιμελητῇ βασιλικῶν,
herself to-Tyrrhenus a-certain of-herds-of-swine overseer royal
ὃν ᾔδει Λατίνῳ γενόμενον ἐν τοῖς μάλιστα
whom she-knew to-Latinus having-been among the most
προσήγορον. ὁ δ᾽ εἰς ὕλας ἐρήμους ἀγαγὼν αὐτὴν
familiar he and into woods deserted having-brought her
ὡς τῶν ἐπιτυχουσῶν τινα, φυλαττόμενος ὀφθῆναι τοῖς
as of-the ordinary-women one guarding-against to-be-seen by-those
εἰδόσιν ἔτρεφεν ἐν τῇ νάπῃ κατασκευάσας οἴκησιν οὐ
knowing maintained-her in the glen having-built a-dwelling not
πολλοῖς γνώριμον καὶ τὸ παιδίον γενόμενον ἀναιρεῖταί
to-many known and the child born takes-up

τε καὶ τρέφει Σιλούιον ὀνομάσας ἀπὸ τῆς ὕλης, ὥσπερ
both and rears Silvius having-named from the wood as
ἂν εἴ τις Ἑλλάδι γλώσσῃ λέξειεν Ὑλαῖον.
— if anyone in-Greek tongue should-say Hylaeus
χρόνου δὲ προϊόντος ὡς πολλὴν ζήτησιν ἔγνω τῆς 70.3
of-time and advancing when much search he-knew of-the
γυναικὸς ὑπὸ τῶν Λατίνων γινομένην καὶ δι᾽ αἰτίας ὄντα
woman by the Latins being-made and in blame being
παρὰ τῷ πλήθει τὸν Ἀσκάνιον, ὡς ἀνῃρηκότα τὴν
with the multitude — Ascanius as having-done-away-with the
παιδίσκην, φράζει τῷ δήμῳ τὸ πρᾶγμα καὶ τὴν ἄνθρωπον
young-woman tells to-the people the matter and the woman
ἄγει μετὰ τοῦ παιδὸς ἐκ τῆς νάπης. τύχῃ μὲν δὴ τοιαύτῃ
brings with the child from the glen fortune indeed indeed such
χρησάμενος ὁ Σιλούϊος τὴν εἰρημένην ἔσχεν ὀνομασίαν καὶ
having-met — Silvius the mentioned had name and
τὸ ἐξ ἐκείνου γένος ἅπαν, τὴν δὲ βασιλείαν παρέλαβεν,
the from him race all the and kingship took-over
ἐπειδὴ τὸν ἀδελφὸν αὐτοῦ τελευτῆσαι συνέπεσεν, ἀμφίλογον
when the brother his to-die it-happened disputed
γενομένην πρὸς ἕνα τὸν πρεσβεύσαντα τῶν Ἀσκανίου
having-become with one the eldest of-the of-Ascanius
παίδων Ἴουλον ἀξιοῦντα τὴν πατρῴαν ἀρχὴν διαδέξασθαι.
sons Iulus claiming the paternal rule to-succeed-to
τὴν δὲ δίκην ἐπεψήφισεν ὁ δῆμος ἄλλοις τε ὑπαχθεὶς 70.4
the and case decided the people by-other both having-been-led
λόγοις καὶ οὐχ ἥκιστα ὅτι μητρὸς ἦν ὁ Σιλούϊος
arguments and not least that of-mother was — Silvius
ἐπικλήρου τῆς ἀρχῆς. Ἰούλῳ δὲ ἀντὶ τῆς βασιλείας
heiress of-the rule to-Iulus and instead-of the kingship
ἱερά τις ἐξουσία προσετέθη καὶ τιμὴ τῷ τε ἀκινδύνῳ
sacred some authority was-added and honor in-the both safety

προὔχουσα τῆς μοναρχίας καὶ τῇ ῥαστώνῃ τοῦ βίου,
superior to-the monarchy and in-the ease of-the life
ἣν ἔτι καὶ εἰς ἐμὲ τὸ ἐξ αὐτοῦ γένος ἐκαρποῦτο,
which still even to me the from him race enjoyed
Ἰούλιοι κληθέντες ἀπ' ἐκείνου. ἐγένετο δὲ μέγιστος ἅμα
Julii called from him became and greatest both
καὶ λαμπρότατος οἴκων οὗτος, ὧν ἡμεῖς ἴσμεν, ἄνδρας
and most-illustrious of-houses this of-which we know men
τε διαφορωτάτους ἡγεμόνων ἤνεγκεν, οἷς τὸ εὐγενὲς
both most-distinguished of-leaders bore for-whom the nobility
αἱ ἀρεταὶ μὴ ἀπιστεῖσθαι παρέσχον· ὑπὲρ ὧν ἐν ἄλλῳ
the virtues not to-be-disbelieved provided about whom in another
δηλωθήσεται λόγῳ τὰ προσήκοντα.
will-be-shown book the-things fitting

71–75 · THE ALBAN KINGS AND ROME'S DATE

Dionysius lists the Alban kings from Silvius to the usurper Amulius; after Romulus and Remus killed him, in the four hundred thirty-second year after Troy, the Albans sent them to found Rome. He sets out other accounts, among them Hellanicus' that Aeneas named the city after Rhome, Aristotle's that captive Trojan women burned the Achaeans' ships, and Antiochus' Rome before the Trojan War. Against Timaeus, Cincius, and Fabius he confirms Cato's date, the first year of the seventh Olympiad, proved, unlike Polybius, by the Gallic sack, the census, the first consuls, and the kings' reigns.

71.1 Σιλουΐου δ' ἑνὸς δέοντα τριάκοντα ἔτη κατασχόντος τὴν
Silvius and one lacking thirty years having-held the
ἀρχὴν Αἰνείας υἱὸς αὐτοῦ διαδεξάμενος τὴν δυναστείαν
rule Aeneas son his having-succeeded-to the power
ἑνὶ πλείω τριάκοντα ἐτῶν ἐβασίλευσεν. μετὰ δὲ τοῦτον
by-one more than-thirty years reigned after and him

ἓν καὶ πεντήκοντα Λατῖνος ἦρξεν ἔτη. Ἄλβας δὲ μετὰ
one and fifty Latinus ruled years Alba and after
τοῦτον ἑνὸς δέοντα τετταράκοντα ἔτη. μετὰ δὲ Ἄλβαν
him one lacking forty years after and Alba
Κάπετος ἓξ ἐπὶ τοῖς εἴκοσιν. ἔπειτα Κάπυς δυεῖν
Capetus six in-addition-to the twenty then Capys two
δέοντα τριάκοντα. μετὰ δὲ Κάπυν Κάλπετος ἄχρι
lacking thirty after and Capys Calpetus up-to
τρισκαίδεκα ἐτῶν κατέσχε τὴν ἀρχήν.
thirteen years held the rule
ἑξῆς δὲ Τιβερῖνος ὀκταετῆ χρόνον ἐβασίλευσεν. τελευτῆσαι 71.2
next and Tiberinus eight-year time reigned to-have-died
δ' οὗτος ἐν μάχῃ παρὰ ποταμῷ γενομένῃ λέγεται·
and he in a-battle by a-river having-taken-place is-said
παρενεχθεὶς δὲ ὑπὸ τοῦ ῥεύματος ἐπώνυμον ἑαυτῷ
having-been-swept-away and by the current named-after himself
κατέλιπε τὸν ποταμὸν Ἄλβουλαν καλούμενον πρότερον.
he-left the river Albula called before
Τιβερίνου δὲ διάδοχος Ἀγρίππας ἓν καὶ τετταράκοντα
of-Tiberinus and successor Agrippa one and forty
ἐβασίλευσεν ἔτη.
reigned years
μετὰ δὲ Ἀγρίππαν Ἀλλώδιος τυραννικόν τι χρῆμα καὶ θεοῖς 71.3
after and Agrippa Allodius tyrannical some thing and to-gods
ἀπεχθόμενον ἑνὸς δέοντα εἴκοσιν· ᾧ περιφρονοῦντι τὰ
hateful one lacking twenty by-whom despising the
δαιμόνια κατεσκεύαστο κεραυνῶν τε μιμήματα καὶ κτύποι
divine-powers had-been-made of-thunderbolts both imitations and claps
βρονταῖς ἐμφερεῖς, οἷς δεδίττεσθαι τοὺς ἀνθρώπους ὡς
to-thunders like with-which to-frighten the men as
θεὸς ἠξίου. ὄμβρων δὲ καὶ κεραυνῶν εἰς τὸν οἶκον αὐτοῦ
a-god he-thought-fit rains and also thunderbolts into the house his

κατασκηψάντων τῆς τε λίμνης, παρ᾽ ἣν οἰκῶν ἐτύγχανε,
having-fallen of-the both lake beside which dwelling he-happened
πλημμύραν οὐκ εἰωθυῖαν λαβούσης κατακλυσθεὶς πανοίκιος
a-flood not usual having-taken flooded with-all-his-house
ἀπόλλυται. καὶ νῦν ἔτι διαλαμπούσης τῆς λίμνης ἐν μέρει
perishes and now still shining-through of-the lake in part
τινί, ὅταν ὑπονοστήσῃ τὸ ναῦμα καὶ σταθερὸς ὁ βυθὸς
some when subsides the stream and still the depth
γένηται, παστάδων ἐρείπια καὶ ἄλλα οἰκήσεως ἴχνη φαίνεται.
becomes of-colonnades ruins and other of-dwelling traces appear
71.4 Ἀουεντῖνος δὲ παρὰ τούτου τὴν δυναστείαν διαδεξάμενος,
Aventinus and from him the power having-succeeded-to
ἀφ᾽ οὗ τῶν ἑπτὰ λόφων τις ἐπώνυμος ἐγένετο τῶν
from whom of-the seven hills one named-after became of-the
συμπεπολισμένων τῇ Ῥώμῃ, τριάκοντα καὶ ἑπτὰ ἔτη τὴν
joined-in-one-city — with-Rome thirty and seven years the
ἀρχὴν κατέσχεν. Πρόκας δὲ μετὰ τοῦτον ἔτη εἴκοσι καὶ
rule held Proca and after him years twenty and
τρία. ἔπειτα Ἀμόλιος οὐ σὺν δίκῃ τὴν βασιλείαν κατασχὼν
three then Amulius not with justice the kingship having-seized
Νεμέτορι προσήκουσαν, ὃς ἦν αὐτῷ πρεσβύτερος ἀδελφός,
to-Numitor belonging who was his elder brother
δύο καὶ τετταράκοντα ἔτη δυναστεύει.
two and forty years holds-power
71.5 Ἀμολίου δὲ ἀναιρεθέντος ὑπὸ Ῥωμύλου καὶ Ῥώμου τῶν ἐκ
Amulius and having-been-killed by Romulus and Remus the-ones from
τῆς ἱερᾶς κόρης γενομένων, ὡς αὐτίκα λεχθήσεται, μετὰ τὸν
the holy maiden born as presently will-be-told after the
ἐκείνου θάνατον ἀπολαμβάνει τὴν κατὰ νόμον δυναστείαν
his death recovers the by law power
Νεμέτωρ ὁ τῶν νεανίσκων μητροπάτωρ. τῷ δ᾽ ἑξῆς
Numitor the of-the youths maternal-grandfather in-the and next

ἔτει τῆς Νεμέτορος ἀρχῆς, δευτέρῳ δὲ καὶ τριακοστῷ καὶ
year of-the of-Numitor rule second and and thirtieth and
τετρακοσιοστῷ μετὰ τὴν Ἰλίου ἅλωσιν, ἀποικίαν στείλαντες
four-hundredth after the of-Ilium capture a-colony having-sent-out
Ἀλβανοὶ Ῥωμύλου καὶ Ῥώμου τὴν ἡγεμονίαν αὐτῆς
Albans Romulus and Remus the leadership of-it
ἐχόντων κτίζουσι Ῥώμην ἔτους ἐνεστῶτος πρώτου τῆς
having found Rome in-the-year current first of-the
ἑβδόμης ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Δαϊκλῆς Μεσσήνιος,
seventh olympiad which won the-stadium Daicles Messenian
ἄρχοντος Ἀθήνησι Χάροπος ἔτος τῆς δεκαετίας πρῶτον.
being-archon at-Athens Charops year of-the ten-year-term first
ἀμφισβητήσεως δὲ πολλῆς οὔσης καὶ περὶ τοῦ χρόνου 72.1
dispute and much being both about the time
τῆς κτίσεως καὶ περὶ τῶν οἰκιστῶν τῆς πόλεως οὐδὲ
of-the founding and about the founders of-the city not-even
αὐτὸς ᾤμην δεῖν ὥσπερ ὁμολογούμενα πρὸς ἁπάντων
I-myself thought to-be-needful as agreed by all
ἐξ ἐπιδρομῆς ἐπελθεῖν. Κεφάλων μὲν γὰρ ὁ Γεργίθιος
in passing to-treat Cephalon indeed for the Gergithian
συγγραφεὺς παλαιὸς πάνυ δευτέρᾳ γενεᾷ μετὰ τὸν
historian ancient very in-the-second generation after the
Ἰλιακὸν πόλεμον ἐκτίσθαι λέγει τὴν πόλιν ὑπὸ τῶν
Trojan war to-have-been-founded says the city by those
ἐξ Ἰλίου διασωθέντων σὺν Αἰνείᾳ, οἰκιστὴν δὲ αὐτῆς
from Ilium having-escaped with Aeneas founder and of-it
ἀποφαίνει τὸν ἡγησάμενον τῆς ἀποικίας Ῥῶμον, τοῦτον δ’
he-declares the having-led the colony Romus this and
εἶναι τῶν Αἰνείου παίδων ἕνα· τέτταρας δέ φησιν Αἰνείᾳ
to-be of-the of-Aeneas sons one four and he-says to-Aeneas
γενέσθαι παῖδας, Ἀσκάνιον, Εὐρυλέοντα, Ῥωμύλον, Ῥῶμον.
to-have-been sons Ascanius Euryleon Romulus Romus

εἴρηται δὲ καὶ Δημαγόρᾳ καὶ Ἀγαθύλλῳ καὶ ἄλλοις συχνοῖς
is-said and also by-Demagoras and Agathyllus and others many
ὅ τε χρόνος καὶ ὁ τῆς ἀποικίας ἡγεμὼν ὁ αὐτός.
the both time and the of-the colony leader the same
72.2 ὁ δὲ τὰς ἱερείας τὰς ἐν Ἄργει καὶ τὰ καθ᾽
the-one and the priestesses the in Argos and the-things in
ἑκάστην πραχθέντα συναγαγὼν Αἰνείαν φησὶν ἐκ
each done having-collected Aeneas says from
Μολοττῶν εἰς Ἰταλίαν ἐλθόντα μετ᾽ Ὀδυσσέα οἰκιστὴν
Molossians to Italy having-come after Odysseus founder
γενέσθαι τῆς πόλεως, ὀνομάσαι δ᾽ αὐτὴν ἀπὸ μιᾶς
to-have-been of-the city to-have-named and it from one
τῶν Ἰλιάδων Ῥώμης. ταύτην δὲ λέγει ταῖς ἄλλαις
of-the Trojan-women Rhome this-one and he-says to-the other
Τρωάσι παρακελευσαμένην κοινῇ μετ᾽ αὐτῶν ἐμπρῆσαι
Trojan-women having-urged in-common with them to-have-burned
τὰ σκάφη βαρυνομένην τῇ πλάνῃ. ὁμολογεῖ δ᾽ αὐτῷ
the ships being-weary of-the wandering agrees and with-him
καὶ Δαμαστὴς ὁ Σιγεὺς καὶ ἄλλοι τινές.
also Damastes the Sigean and others some
72.3 Ἀριστοτέλης δὲ ὁ φιλόσοφος Ἀχαιῶν τινας ἱστορεῖ τῶν
Aristotle and the philosopher Achaeans some relates of-the
ἀπὸ Τροίας ἀνακομισαμένων περιπλέοντας Μαλέαν, ἔπειτα
from Troy returning sailing-around Malea then
χειμῶνι βιαίῳ καταληφθέντας τέως μὲν ὑπὸ τῶν
by-a-storm violent having-been-overtaken for-a-while indeed by the
πνευμάτων φερομένους πολλαχῇ τοῦ πελάγους πλανᾶσθαι,
winds being-carried in-many-parts of-the sea to-have-wandered
τελευτῶντας δ᾽ ἐλθεῖν εἰς τὸν τόπον τοῦτον τῆς Ὀπικῆς,
finally and to-have-come to the place this — of-Opica
ὃς καλεῖται Λατίνιον ἐπὶ τῷ Τυρρηνικῷ πελάγει κείμενος.
which is-called Latinium on the Tyrrhenian sea lying

ἀσμένους δὲ τὴν γῆν ἰδόντας ἀνελκῦσαί τε τὰς 72.4
gladly and the land having-seen to-have-hauled-up both the
ναῦς αὐτόθι καὶ διατρῖψαι τὴν χειμερινὴν ὥραν
ships there and to-have-spent the winter season
παρασκευαζομένους ἔαρος ἀρχομένου πλεῖν. ἐμπρησθεισῶν
preparing spring beginning to-sail having-been-burned
δὲ αὐτοῖς ὑπὸ νύκτα τῶν νεῶν οὐκ ἐχόντας ὅπως
and for-them during night the ships not knowing how
ποιήσονται τὴν ἄπαρσιν, ἀβουλήτῳ ἀνάγκῃ τοὺς βίους ἐν
they-would-make the departure by-unwilling necessity the lives in
ᾧ κατήχθησαν χωρίῳ ἱδρύσασθαι. συμβῆναι δὲ αὐτοῖς
which they-had-put-in place to-have-established to-have-happened and to-them
τοῦτο διὰ γυναῖκας αἰχμαλώτους, ἃς ἔτυχον ἄγοντες
this through women captive whom they-happened bringing
ἐξ Ἰλίου. ταύτας δὲ κατακαῦσαι τὰ πλοῖα φοβουμένας τὴν
from Ilium these and to-have-burned the vessels fearing the
οἴκαδε τῶν Ἀχαιῶν ἄπαρσιν, ὡς εἰς δουλείαν ἀφιξομένας.
homeward of-the Achaeans departure as into slavery going-to-come
Καλλίας δὲ ὁ τὰς Ἀγαθοκλέους πράξεις ἀναγράψας 72.5
Callias and the-one the of-Agathocles deeds having-recorded
Ῥώμην τινὰ Τρωάδα τῶν ἀφικνουμένων ἅμα τοῖς
Rhome a-certain Trojan-woman of-those arriving together-with the
ἄλλοις Τρωσὶν εἰς Ἰταλίαν γήμασθαι Λατίνῳ τῷ βασιλεῖ
other Trojans to Italy to-have-married Latinus the king
τῶν Ἀβοριγίνων καὶ γεννῆσαι τρεῖς παῖδας, Ῥῶμον καὶ
of-the Aborigines and to-have-borne three sons Romus and
Ῥωμύλον καὶ Τηλέγονον ∗∗∗ οἰκίσαντας δὲ πόλιν, ἀπὸ
Romulus and Telegonus (lacuna) having-founded and a-city from
τῆς μητρὸς αὐτῇ θέσθαι τοὔνομα. Ξεναγόρας δὲ ὁ
the mother to-it to-have-given the-name Xenagoras and the
συγγραφεὺς Ὀδυσσέως καὶ Κίρκης υἱοὺς γενέσθαι τρεῖς,
historian of-Odysseus and of-Circe sons to-have-been three

Ῥῶμον, Ἀντείαν, Ἀρδείαν· οἰκίσαντας δὲ τρεῖς πόλεις ἀφ᾽
Romus Anteias Ardeias having-founded and three cities from
ἑαυτῶν θέσθαι τοῖς κτίσμασι τὰς ὀνομασίας.
themselves to-have-given to-the foundations the names

72.6 Διονύσιος δὲ ὁ Χαλκιδεὺς οἰκιστὴν μὲν ἀποφαίνει τῆς
Dionysius and the Chalcidian founder indeed declares of-the
πόλεως Ῥῶμον· τοῦτον δὲ λέγει κατὰ μέν τινας
city Romus this and he-says according-to indeed some
Ἀσκανίου, κατὰ δέ τινας Ἡμαθίωνος εἶναι παῖδα. εἰσὶ
of-Ascanius according-to and others of-Emathion to-be son there-are
δέ τινες οἳ τὴν Ῥώμην ἐκτίσθαι λέγουσιν ὑπὸ Ῥώμου
and some who — Rome to-have-been-founded say by Romus
τοῦ Ἰταλοῦ, μητρὸς δὲ Λευκαρίας τῆς Λατίνου θυγατρός.
the son-of-Italus of-mother and Leucaria the of-Latinus daughter

73.1 ἔχων δὲ πολλοὺς καὶ ἄλλους τῶν Ἑλληνικῶν παρέχεσθαι
being-able and many also others of-the Greek to-produce
συγγραφέων, οἳ διαφόρους ἀποφαίνουσι τοὺς οἰκιστὰς τῆς
historians who different declare the founders of-the
πόλεως, ἵνα μὴ δόξω μακρηγορεῖν ἐπὶ τοὺς Ῥωμαίων
city so-that not I-may-seem to-be-long-winded to the of-Romans
ἐλεύσομαι συγγραφεῖς. παλαιὸς μὲν οὖν οὔτε συγγραφεὺς
I-shall-come historians ancient indeed then neither historian
οὔτε λογογράφος ἐστὶ Ῥωμαίων οὐδὲ εἷς· ἐκ παλαιῶν
nor chronicler is of-Romans even one from ancient
μέντοι λόγων ἐν ἱεραῖς δέλτοις σωζομένων ἕκαστός τι
however accounts in sacred tablets preserved each something
παραλαβὼν ἀνέγραψεν.
having-received recorded

73.2 τούτων δέ τινες μὲν Αἰνείου γενέσθαι υἱοὺς λέγουσι
of-these and some indeed of-Aeneas to-have-been sons say
Ῥωμύλον τε καὶ Ῥῶμον τοὺς οἰκιστὰς τῆς Ῥώμης, ἕτεροι
Romulus both and Romus the founders — of-Rome others

δὲ θυγατρὸς Αἰνείου παῖδας, ὅτου δὲ πατρὸς οὐκέτι
and of-a-daughter of-Aeneas children of-what but father no-longer
διορίζοντες· δοθῆναι δ' αὐτοὺς ὑπ' Αἰνείου Λατίνῳ
specifying to-have-been-given and them by Aeneas to-Latinus
τῷ βασιλεῖ τῶν Ἀβοριγίνων ὁμηρεύσοντας, ὅτε καὶ αἱ
the king of-the Aborigines going-to-be-hostages when also the
πίστεις τοῖς ἐπιχωρίοις πρὸς τοὺς ἐπήλυδας ἐγένοντο.
pledges for-the natives toward the immigrants were-made
ἀσπαζόμενον δὲ αὐτοὺς Λατῖνον τῇ τε ἄλλῃ θεραπείᾳ
welcoming and them Latinus with-the both other care
περιέπειν εὖ καὶ ἐκγόνου ἄρρενος ἄπαιδα τελευτῶντα
to-have-treated well and of-offspring male childless dying
διαδόχους μέρους τινὸς τῆς ἑαυτοῦ ἀρχῆς καταλιπεῖν.
successors of-part some of-the his-own kingdom to-have-left
ἄλλοι δὲ λέγουσιν Αἰνείου τελευτήσαντος Ἀσκάνιον ἅπασαν 73.3
others and say Aeneas having-died Ascanius all
τὴν Λατίνων ἀρχὴν παραλαβόντα νείμασθαι πρὸς τοὺς
the of-Latins rule having-taken-over to-have-divided with the
ἀδελφοὺς Ῥωμύλον τε καὶ Ῥῶμον τήν τε χώραν καὶ τὴν
brothers Romulus both and Romus the both land and the
δύναμιν τὴν Λατίνων τριχῇ· αὐτὸν μὲν δὴ τήν τε Ἄλβαν
force the of-Latins in-three himself indeed indeed — both Alba
κτίσαι καὶ ἄλλ' ἄττα πολίσματα· Ῥῶμον δὲ Καπύην
to-have-founded and other some small-towns Romus and Capua
μὲν ἀπὸ τοῦ προπάππου Κάπυος, Ἀγχίσην δὲ ἀπὸ τοῦ
indeed from the great-grandfather Capys Anchisa and from the
προπάτορος Ἀγχίσου, Αἰνείαν δὲ τὴν ὕστερον κληθεῖσαν
forefather Anchises Aeneia and the later called
Ἰάνικλον ἀπὸ τοῦ πατρός, Ῥώμην δὲ ἀφ' ἑαυτοῦ, ταύτην δὲ
Janiculum from the father Rome and from himself this and
χρόνους τινὰς ἐρημωθεῖσαν ἑτέρας αὖθις ἐλθούσης ἀποικίας,
for-times some having-been-deserted another again having-come colony

ἣν Ἀλβανοὶ ἔστειλαν ἡγουμένου Ῥωμύλου καὶ Ῥώμου, τὴν
which Albans sent-out leading Romulus and Remus the
ἀρχαίαν κτίσιν ἀπολαβεῖν· ὥστε διττὰς εἶναι τῆς Ῥώμης τὰς
ancient foundation to-have-recovered so-that twofold to-be — of-Rome the
κτίσεις· τὴν μὲν ὀλίγον ὕστερον τῶν Τρωικῶν γενομένην,
foundings the-one indeed a-little after the Trojan-war having-taken-place
τὴν δὲ πεντεκαίδεκα γενεαῖς ὑστεροῦσαν τῆς προτέρας.
the-other and by-fifteen generations later than-the former
73.4 εἰ δέ τις ἀπιδεῖν βουλήσεται τὰ προσωτέρω καὶ τρίτη
if and anyone to-look-into shall-wish the-things farther-back also a-third
τις ἀρχαιοτέρα τούτων εὑρεθήσεται Ῥώμη γενομένη πρὶν
some more-ancient than-these will-be-found Rome having-existed before
Αἰνείαν καὶ Τρῶας ἐλθεῖν εἰς Ἰταλίαν. ταῦτα δὲ οὐ τῶν
Aeneas and Trojans to-come to Italy these-things and not of-the
ἐπιτυχόντων τις οὐδὲ νέων συγγραφεὺς ἱστόρηκεν, ἀλλ'
ordinary any nor recent historian has-related but
Ἀντίοχος ὁ Συρακούσιος, οὗ καὶ πρότερον ἐμνήσθην. φησὶ
Antiochus the Syracusan whom also before I-mentioned he-says
δὲ Μόργητος ἐν Ἰταλίᾳ βασιλεύοντος (ἦν δὲ τότε Ἰταλία
and Morges in Italy reigning was and then Italy
ἡ ἀπὸ Τάραντος ἄχρι Ποσειδωνίας παράλιος) ἐλθεῖν
the from Tarentum as-far-as Posidonia coast to-have-come
ὡς αὐτὸν ἄνδρα φυγάδα ἐκ Ῥώμης. λέγει δὲ ὧδε· "ἐπεὶ
to him a-man exile from Rome he-says and thus when
δὲ Ἰταλὸς κατεγήρα, Μόργης ἐβασίλευσεν. ἐπὶ τούτου δὲ
and Italus was-growing-old Morges reigned under him and
ἀνὴρ ἀφίκετο ἐκ Ῥώμης φυγάς· Σικελὸς ὄνομα αὐτῷ."
a-man came from Rome an-exile Sicelus name to-him
73.5 κατὰ μὲν δὴ τὸν Συρακούσιον συγγραφέα παλαιά τις
according-to indeed indeed the Syracusan historian ancient some
εὑρίσκεται καὶ προτεροῦσα τῶν Τρωικῶν πότερον δὲ περὶ
is-found and earlier-than the Trojan-war whether but about

τοὺς αὐτοὺς ἦν τόπους, ἐν οἷς ἡ νῦν οἰκουμένη πόλις ἐστίν,
the same was places in which the now inhabited city is
ἢ χωρίον ἕτερον ἐτύγχανεν οὕτως ὀνομαζόμενον ἀσαφὲς
or place another happened so named unclear
ἐκείνου καταλιπόντος οὐδ' ἐγὼ δύναμαι συμβαλεῖν. περὶ μὲν
him having-left not-even I am-able to-conjecture about indeed
οὖν τῶν παλαιῶν κτίσεων ἱκανὰ ἡγοῦμαι τὰ προειρημένα.
then the ancient foundings sufficient I-think the-things said-before
τὸν δὲ τελευταῖον γενόμενον τῆς Ῥώμης οἰκισμὸν 74.1
the and last having-taken-place — of-Rome settlement
ἢ κτίσιν ἢ ὅτι δήποτε χρὴ καλεῖν Τίμαιος μὲν ὁ
or founding or what ever one-must call Timaeus indeed the
Σικελιώτης οὐκ οἶδ' ὅτῳ κανόνι χρησάμενος ἅμα
Sicilian-Greek not I-know what rule having-used together-with
Καρχηδόνι κτιζομένῃ γενέσθαι φησὶν ὀγδόῳ καὶ
Carthage being-founded to-have-taken-place says in-the-eighth and
τριακοστῷ πρότερον ἔτει τῆς πρώτης ὀλυμπιάδος. Λεύκιος
thirtieth before year of-the first olympiad Lucius
δὲ Κίγκιος ἀνὴρ τῶν ἐκ τοῦ βουλευτικοῦ συνεδρίου περὶ
and Cincius a-man of-those from the senatorial council about
τὸ τέταρτον ἔτος τῆς δωδεκάτης ὀλυμπιάδος. Κόϊντος
the fourth year of-the twelfth olympiad Quintus
δὲ Φάβιος κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδόης ὀλυμπιάδος.
and Fabius in the first year of-the eighth olympiad
Κάτων δὲ Πόρκιος Ἑλληνικὸν μὲν οὐχ ὁρίζει χρόνον, 74.2
Cato and Porcius Greek indeed not defines time
ἐπιμελὴς δὲ γενόμενος, εἰ καί τις ἄλλος, περὶ τὴν συναγωγὴν
careful but having-been if also any other about the collection
appointed master-of-horse and he for-himself having-chosen
Κορνήλιον Σκηπίωνα, πρῶτον μὲν εὐχὰς ἐποιήσατο
Cornelius Scipio first indeed vows made
τοῖς θεοῖς ἐπὶ τῷ πολέμῳ τέλος εὐκλεὲς λαβόντι
to-the gods upon the war an-end glorious having-obtained
τὰς μεγάλας θέας ἄξειν καὶ νεὼν θεᾶς, ἣν
the great spectacles to-be-going-to-hold and a-temple of-a-goddess whom
Μητέρα Ματοῦταν καλοῦσι Ῥωμαῖοι, καθιερώσειν.
Mother Matuta call Romans to-be-going-to-consecrate
ταύτην ἄν τις ἀπὸ τῶν δρωμένων ἱερῶν μάλιστα
her — anyone from the performed rites most
Λευκοθέαν νομίσειεν εἶναι. καὶ γὰρ θεράπαιναν εἰς τὸν
Leucothea would-think to-be and for a-maidservant into the
σηκὸν εἰσάγουσαι ῥαπίζουσιν, εἶτ' ἐξελαύνουσι καὶ τὰ
sanctuary leading-in they-slap then drive-out and the

τῶν ἀδελφῶν τέκνα πρὸ τῶν ἰδίων ἐναγκαλίζονται καὶ
of-the sisters children before the own embrace and
δρῶσι περὶ τὴν θυσίαν ἃ ταῖς Διονύσου τροφοῖς καὶ
do about the sacrifice things-which to-the of-Dionysus nurses and
τοῖς διὰ τὴν παλλακὴν πάθεσι τῆς Ἰνοῦς προσέοικε.
to-the because-of the concubine sufferings — of-Ino resemble
μετὰ δὲ τὰς εὐχὰς ὁ Κάμιλλος εἰς τὴν Φαλίσκων
after and the vows — Camillus into the of-Faliscans
ἐνέβαλε, καὶ μάχῃ μεγάλῃ τούτους τε καὶ Καπηνάτας
invaded and in-battle great them both and Capenates
προσβοηθήσαντας αὐτοῖς ἐνίκησεν. ἔπειτα πρὸς τὴν
having-come-to-help them conquered then to the
πολιορκίαν τραπόμενος τῶν Οὐηΐων καὶ τὸν ἐκ προσβολῆς
siege having-turned — of-Veii and the by assault
ἀγῶνα χαλεπὸν καὶ δύσεργον ὁρῶν ὑπονόμους ἔτεμνε,
struggle hard and laborious seeing mines cut
τῶν περὶ τὴν πόλιν χωρίων ἐνδιδόντων τοῖς ὀρύγμασι καὶ
the about the city places yielding to-the diggings and
καταδεχομένων εἰς βάθος ἄγειν ἄδηλον τοῖς πολεμίοις τὰ
admitting to depth to-carry unseen by-the enemies the
ἔργα. διὸ καὶ προϊούσης ὁδῷ τῆς ἐλπίδος αὐτὸς μὲν
works wherefore also advancing by-way the hope himself indeed
ἔξωθεν προσέβαλλεν, ἐκκαλούμενος ἐπὶ τὰ τείχη τοὺς
from-outside attacked calling-out onto the walls the
πολεμίους, ἄλλοι δ' ἀδήλως ὑποπορευόμενοι διὰ τῶν
enemies others and unseen going-under through the
ὑπονόμων ἔλαθον ἐντὸς γενόμενοι τῆς ἄκρας κατὰ τὸ
mines escaped-notice inside having-come the citadel by the
τῆς Ἥρας ἱερόν, ὃ μέγιστον ἦν ἐν τῇ πόλει καὶ μάλιστα
— of-Hera temple which greatest was in the city and most
τιμώμενον. ἐνταῦθα λέγεται τυχεῖν κατ' ἐκεῖνο καιροῦ
honored there it-is-said to-have-happened at that time

τὸν ἡγεμόνα τῶν Τυρρηνῶν ἐφ' ἱεροῖς· τὸν δὲ μάντιν εἰς
the leader of-the Tyrrhenians at sacrifices the and seer into
τὰ σπλάγχνα κατιδόντα καὶ μέγα φθεγξάμενον εἰπεῖν,
the entrails having-looked and loudly having-uttered to-have-said
ὅτι νίκην ὁ θεὸς δίδωσι τῷ κατακολουθήσαντι τοῖς
that victory the god gives to-the(-one) having-followed-up the
ἱεροῖς ἐκείνοις· ταύτης δὲ τῆς φωνῆς τοὺς ἐν τοῖς
sacrifices those this and the voice the in the
ὑπονόμοις Ῥωμαίους ἐπακούσαντας ταχὺ διασπάσαι τὸ
mines Romans having-heard quickly to-tear-apart the
ἔδαφος, καὶ μετὰ βοῆς καὶ ψόφου τῶν ὅπλων ἀναδύντας,
floor and with shout and clash of-the arms having-come-up
ἐκπλαγέντων τῶν πολεμίων καὶ φυγόντων, ἁρπάσαντας
being-terrified the enemies and having-fled having-snatched
τὰ σπλάγχνα κομίσαι πρὸς τὸν Κάμιλλον. ἀλλὰ ταῦτα
the entrails to-have-carried to — Camillus but these-things
μὲν ἴσως ἐοικέναι δόξει μυθεύμασιν. ἁλούσης δὲ τῆς
indeed perhaps to-resemble will-seem fables being-taken and the
πόλεως κατὰ κράτος καὶ τῶν Ῥωμαίων ἀγόντων καὶ
city by force and the Romans carrying-off and
φερόντων ἄπειρόν τινα πλοῦτον, ἐφορῶν ὁ Κάμιλλος ἀπὸ
bearing-off boundless some wealth overseeing — Camillus from
τῆς ἄκρας τὰ πραττόμενα, πρῶτον μὲν ἑστὼς ἐδάκρυσεν,
the citadel the happenings first indeed standing wept
εἶτα μακαρισθεὶς ὑπὸ τῶν παρόντων ἀνέσχε τὰς
then having-been-congratulated by the(-men) present raised the
χεῖρας τοῖς θεοῖς καὶ προσευχόμενος εἶπε· "Ζεῦ μέγιστε καὶ
hands to-the gods and praying said Zeus greatest and
θεοὶ χρηστῶν ἐπίσκοποι καὶ πονηρῶν ἔργων, αὐτοί που
gods of-good overseers and of-wicked deeds yourselves surely
σύνιστε Ῥωμαίοις, ὡς οὐ παρὰ δίκην, ἀλλὰ κατ' ἀνάγκην
share-knowledge with-Romans that not against justice but by necessity

ἀμυνόμενοι μετερχόμεθα δυσμενῶν ἀνδρῶν καὶ παρανόμων
defending-ourselves we-pursue of-hostile men and lawless
πόλιν. εἰ δ' ἄρα τις," ἔφη, "καὶ ἡμῖν ἀντίστροφος
a-city if but then any he-said also to-us counterbalancing
ὀφείλεται τῆς παρούσης νέμεσις εὐπραξίας, εὔχομαι ταύτην
is-owed of-the present retribution success I-pray this
ὑπέρ τε πόλεως καὶ στρατοῦ Ῥωμαίων εἰς ἐμαυτὸν
for both city and army of-Romans upon myself
ἐλαχίστῳ κακῷ τελευτῆσαι." ταῦτ' εἰπών, καθάπερ
with-least harm to-end these-things having-said as
ἐστὶ Ῥωμαίοις ἔθος ἐπευξαμένοις καὶ προσκυνήσασιν ἐπὶ
is for-Romans custom having-prayed and having-done-obeisance to
δεξιὰ ἐξελίττειν, ἐσφάλη περιστρεφόμενος. διαταραχθέντων
right to-turn-round he-slipped turning-round being-disturbed
δὲ τῶν παρόντων πάλιν ἀναλαβὼν ἑαυτὸν ἐκ τοῦ
and the(-men) present again having-recovered himself from the
πτώματος εἶπεν, ὡς γέγονεν αὐτῷ κατ' εὐχὴν σφάλμα
fall he-said that had-happened to-him according-to prayer a-slip
μικρὸν ἐπ' εὐτυχίᾳ μεγίστῃ.
small for good-fortune greatest

6 διαπορθήσας δὲ τὴν πόλιν ἔγνω τὸ ἄγαλμα τῆς Ἥρας
having-sacked and the city he-decided the statue — of-Hera
μεταφέρειν εἰς Ῥώμην, ὥσπερ εὔξατο. καὶ συνελθόντων
to-transfer to Rome as he-had-vowed and having-assembled
ἐπὶ τούτῳ τῶν τεχνιτῶν, ὁ μὲν ἔθυε καὶ προσεύχετο τῇ
for this the craftsmen he indeed sacrificed and prayed to-the
θεῷ δέχεσθαι τὴν προθυμίαν αὐτῶν καὶ εὐμενῆ γενέσθαι
goddess to-accept the zeal their and kindly to-be
σύνοικον τοῖς λαχοῦσι τὴν Ῥώμην θεοῖς, τὸ δ' ἄγαλμά
a-fellow-dweller with-the having-obtained — Rome gods the and statue
φασιν ὑποφθεγξάμενον εἰπεῖν, ὅτι καὶ βούλεται καὶ
they-say having-spoken-softly to-have-said that both she-wishes and

συγκαταινεῖ. Λιούϊος δέ φησιν εὔχεσθαι μὲν τὸν Κάμιλλον
assents Livy and says to-pray indeed — Camillus
ἁπτόμενον τῆς θεοῦ καὶ παρακαλεῖν, ἀποκρίνασθαι δέ τινας
touching the goddess and to-invite to-have-answered but some
τῶν παρόντων, ὅτι καὶ βούλεται καὶ συγκαταινεῖ καὶ
of-the(-men) present that both she-wishes and consents and
συνακολουθεῖ προθύμως. οἱ δ' ἰσχυριζόμενοι καὶ τῷ
follows eagerly the(-men) and insisting and the
παραδόξῳ βοηθοῦντες μεγίστην μὲν ἔχουσι συνήγορον τὴν
paradox supporting greatest indeed have advocate the
τύχην τῆς πόλεως, ἣν ἀπὸ μικρᾶς καὶ καταφρονουμένης
fortune of-the city which from small and despised
ἀρχῆς ἐπὶ τοσοῦτον δόξης καὶ δυνάμεως προελθεῖν
beginning to so-great reputation and power to-have-advanced
δίχα θεοῦ πολλαῖς καὶ μεγάλαις ἐπιφανείαις ἑκάστοτε
without a-god with-many and great manifestations each-time
συμπαρόντος ἀμήχανον· οὐ μὴν ἀλλὰ καὶ συνάγουσιν
being-present impossible not indeed but also they-collect
ὁμοειδῆ τινα, τοῦτο μὲν ἱδρῶτας ἀγαλμάτων πολλάκις
similar some-things this indeed sweats of-statues often
ἐκχυθέντας, τοῦτο δὲ στεναγμοὺς ἀκουσθέντας ἀποστροφάς
having-poured-out this and groans having-been-heard turnings-away
τε δεικνύντες καὶ καταμύσεις ξοάνων, ἃς ἱστορήκασιν
both showing and closings-of-eyes of-images which have-recorded
οὐκ ὀλίγοι τῶν πρότερον. πολλὰ δὲ καὶ τῶν καθ'
not few of-the(-men) earlier many and also of-the in
ἡμᾶς ἀκηκοότες ἀνθρώπων λέγειν ἔχομεν ἄξια θαύματος,
our having-heard men to-say we-are-able worthy of-wonder
ὧν οὐκ ἄν τις εἰκῇ καταφρονήσειεν. ἀλλὰ τοῖς τοιούτοις
which not — anyone rashly would-despise but in-the such-matters
καὶ τὸ πιστεύειν σφόδρα καὶ τὸ λίαν ἀπιστεῖν ἐπισφαλές
both the to-believe greatly and the too-much to-disbelieve dangerous

ἐστι διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν ὅρον οὐκ ἔχουσαν
is because-of the human weakness limit not having
οὐδὲ κρατοῦσαν αὑτῆς, ἀλλ' ἐκφερομένην ὅπου μὲν εἰς
nor mastering itself but carried-away sometimes indeed into
δεισιδαιμονίαν καὶ τῦφον, ὅπου δ' εἰς ὀλιγωρίαν τῶν θεῶν
superstition and conceit sometimes and into neglect of-the gods
καὶ περιφρόνησιν· ἡ δ' εὐλάβεια καὶ τὸ μηδὲν ἄγαν ἄριστον.
and contempt the but caution and the nothing too-much best
7 ὁ δὲ Κάμιλλος εἴτε μεγέθει τοῦ ἔργου, πόλιν ἀντίπαλον
— and Camillus whether by-greatness of-the deed a-city rival
τῆς Ῥώμης ἔτει δεκάτῳ τῆς πολιορκίας καθῃρηκώς, εἴτε
— of-Rome in-year tenth of-the siege having-destroyed or
ὑπὸ τῶν εὐδαιμονιζόντων αὐτὸν εἰς ὄγκον ἐξαρθεὶς καὶ
by the(-men) congratulating him into pomp lifted-up and
φρόνημα νομίμου καὶ πολιτικῆς ἀρχῆς ἐπαχθέστερον, τά τε
pride than-a-lawful and civil office more-offensive the both
ἄλλα σοβαρῶς ἐθριάμβευσε καὶ τέθριππον ὑποζευξάμενος
rest haughtily triumphed and a-four-horse-chariot having-yoked
λευκόπωλον ἐπέβη καὶ διεξήλασε τῆς Ῥώμης, οὐδενὸς
white-horsed mounted and drove-through — Rome no-one
τοῦτο ποιήσαντος ἡγεμόνος πρότερον οὐδ' ὕστερον. ἱερὸν
this having-done leader before nor after sacred
γὰρ ἡγοῦνται τὸ τοιοῦτον ὄχημα τῷ βασιλεῖ καὶ πατρὶ
for they-consider the such vehicle to-the king and father
τῶν θεῶν ἐπιπεφημισμένον. ἔκ τε δὴ τούτου διεβλήθη
of-the gods dedicated from both indeed this he-was-slandered
πρὸς τοὺς πολίτας οὐκ εἰθισμένους ἐντρυφᾶσθαι, καὶ
to the citizens not accustomed to-be-treated-insolently and
δευτέραν ἔλαβεν αἰτίαν ἐνιστάμενος νόμῳ διοικίζοντι τὴν
a-second incurred blame opposing a-law dividing-up the
πόλιν. εἰσηγοῦντο γὰρ οἱ δήμαρχοι τόν τε δῆμον καὶ
city proposed for the tribunes the both people and

τὴν σύγκλητον ἴσα μέρη δύο νεμηθῆναι, καὶ τοὺς μὲν
the senate equal parts two to-be-divided and the indeed
αὐτόθι κατοικεῖν, τοὺς δὲ κλήρῳ λαχόντας εἰς τὴν
there to-dwell the(-others) and by-lot having-been-chosen into the
αἰχμάλωτον μεταστῆναι πόλιν, ὡς εὐπορωτέρων ἐσομένων
captured to-move city as more-prosperous going-to-be
καὶ δυσὶ μεγάλοις καὶ καλοῖς ἄστεσι τήν τε χώραν ὁμοῦ
and with-two great and fine cities the both country together
καὶ τὴν ἄλλην εὐδαιμονίαν φυλαξόντων. ὁ μὲν οὖν δῆμος
and the other prosperity going-to-guard the indeed then people
ἤδη πολὺς γεγονὼς καὶ ἀχρήματος ἄσμενος ἐδέξατο,
already numerous having-become and moneyless gladly accepted
καὶ συνεχὴς ἦν τοῖς περὶ τὸ βῆμα θορύβοις αἰτῶν
and constant was at-the about the rostra uproars demanding
τὴν ψῆφον· ἡ δὲ βουλὴ καὶ τῶν ἄλλων οἱ κράτιστοι
the vote the but senate and of-the others the best
πολιτῶν οὐ διαίρεσιν, ἀλλ᾽ ἀναίρεσιν ἡγούμενοι τῆς Ῥώμης
of-citizens not division but destruction thinking — of-Rome
πολιτεύεσθαι τοὺς δημάρχους καὶ δυσανασχετοῦντες ἐπὶ
to-pursue-as-policy the tribunes and being-indignant to
τὸν Κάμιλλον κατέφυγον. κἀκεῖνος ὀρρωδῶν τὸν ἀγῶνα
— Camillus fled and-he dreading the contest
προφάσεις ἐνέβαλλε τῷ δήμῳ καὶ ἀσχολίας, δι᾽ ὧν
pretexts threw-in for-the people and occupations through which
ἀεὶ τὸν νόμον ἐξέκρουεν. ἦν μὲν οὖν διὰ ταῦτα
always the law he-put-off was indeed then because-of these-things
λυπηρός. ἡ δὲ φανερωτάτη καὶ μεγίστη τῶν ἀπεχθειῶν
painful the but most-manifest and greatest of-the hatreds
αὐτῷ πρὸς τὸν δῆμον ἐκ τῆς δεκάτης τῶν λαφύρων
to-him toward the people from the tithe of-the spoils
ὑπῆρξεν, οὐκ ἄλογον, εἰ καὶ μὴ πάνυ δικαίαν ἀρχὴν τῶν
arose not unreasonable if even not very just beginning the

πολλῶν λαβόντων. εὔξατο μὲν γὰρ ἐπὶ τοὺς Οὐηΐους,
many having-taken he-vowed indeed for against the Veientines
ὡς ἔοικε, βαδίζων, εἰ τὴν πόλιν ἕλοι, τῷ θεῷ τούτων
as it-seems marching if the city he-should-take to-the god of-these
τὴν δεκάτην καθιερώσειν. ἁλούσης δὲ τῆς πόλεως καὶ
the tenth to-be-going-to-dedicate being-taken and the city and
διαρπασθείσης, εἴτ' ὀκνήσας ἐνοχλῆσαι τοῖς πολίταις,
being-plundered whether having-hesitated to-trouble the citizens
εἴτε λήθη τις αὐτὸν ὑπὸ τῶν παρόντων πραγμάτων
or forgetfulness some him because-of the present affairs
ἔλαβε τῆς εὐχῆς, περιεῖδεν ὠφεληθέντας. ὕστερον δὲ χρόνῳ
took of-the vow he-overlooked them-benefited later and in-time
τῆς ἀρχῆς ἐκείνης ἤδη πεπαυμένος ἀνήνεγκε περὶ τούτων
of-the office that already having-ceased he-referred about these-things
εἰς τὴν σύγκλητον, οἵ τε μάντεις ἤγγελλον ἐπὶ τοῖς ἱεροῖς
to the senate the and seers announced in the sacrifices
προφαίνεσθαι θεῶν μῆνιν ἱλασμοῦ καὶ χαριστηρίων δεομένην.
to-be-shown of-gods wrath atonement and thank-offerings needing
8 ψηφισαμένης δὲ τῆς βουλῆς τὴν μὲν ὠφέλειαν (χαλεπὸν γὰρ
having-voted and the senate the indeed booty hard for
ἦν) ἀνάδαστον μὴ γενέσθαι, τοὺς δὲ λαβόντας αὐτοὺς σὺν
it-was redivided not to-be the and having-taken themselves with
ὅρκῳ τὴν δεκάτην παραφέρειν εἰς μέσον, ἐγίνετο πολλὰ
oath the tenth to-bring into the-middle there-happened many
λυπηρὰ καὶ βίαια περὶ τοὺς στρατιώτας, ἀνθρώπους
painful and violent-things about the soldiers men
πένητας καὶ πολλὰ πεπονηκότας, ἀναγκαζομένους ὧν
poor and much having-toiled being-compelled of-what
ἐκέκτηντο καὶ κατεκέχρηντο μέρος εἰσφέρειν τοσοῦτον.
they-had-acquired and had-used-up a-part to-contribute so-large
θορυβουμένῳ δ' ὑπ' αὐτῶν τῷ Καμίλλῳ καὶ προφάσεως
being-troubled and by them — to-Camillus and for-a-pretext

ἀποροῦντι βελτίονος εἰς τὸν ἀτοπώτατον τῶν λόγων
at-a-loss better to the strangest of-the arguments
συνέβαινε καταφεύγειν, ὁμολογοῦντι ἐπιλαθέσθαι τῆς εὐχῆς.
it-happened to-flee agreeing to-have-forgotten the vow
οἱ δ' ἐχαλέπαινον, εἰ τὰ τῶν πολεμίων δεκατεύσειν
they and were-angry if the-things of-the enemies to-be-going-to-tithe
εὐξάμενος τότε νῦν δεκατεύει τὰ τῶν πολιτῶν. οὐ μὴν
having-vowed then now he-tithes the-things of-the citizens not indeed
ἀλλὰ πάντων ὅσον ἔδει μέρος εἰσενεγκόντων ἔδοξε
but all as-much-as was-needed part having-contributed it-seemed-good
κρατῆρα χρυσοῦν κατασκευάσαντας εἰς Δελφοὺς ἀποστεῖλαι.
a-mixing-bowl golden having-made to Delphi to-send
χρυσίου δ' ἦν σπάνις ἐν τῇ πόλει· καὶ τῶν ἀρχόντων
of-gold and was scarcity in the city and the magistrates
ὅθεν ἂν πορισθείη σκοπούντων, αἱ γυναῖκες αὐταὶ καθ'
whence — it-might-be-provided considering the women themselves by
αὑτὰς βουλευσάμεναι τὸν ὄντα χρυσοῦν ἑκάστῃ περὶ τὸ
themselves having-deliberated the being golden for-each about the
σῶμα κόσμον ἐπέδωκαν εἰς τὸ ἀνάθημα, σταθμῷ χρυσίου
body ornament gave for the offering in-weight of-gold
γενόμενον ὀκτὼ ταλάντων. καὶ ταύταις μὲν ἡ σύγκλητος
amounting eight talents and to-these indeed the senate
ἀποδιδοῦσα τιμὴν πρέπουσαν ἐψηφίσατο μετὰ θάνατον
rendering honor fitting voted after death
ὥσπερ ἐπὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ λέγεσθαι τὸν ἄξιον
as for the men also for-the women to-be-spoken the worthy
ἔπαινον· οὐ γὰρ ἦν εἰθισμένον πρότερον ἐγκωμιάζεσθαι
praise not for was customary before to-be-eulogized
γυναῖκα δημοσίᾳ τελευτήσασαν· ἑλόμενοι δὲ τρεῖς ἄνδρας
a-woman publicly having-died having-chosen and three men
ἐκ τῶν ἀρίστων θεωροὺς καὶ ναῦν μακρὰν εὐανδροῦντι
from the best envoys and a-ship long with-well-manned

πληρώματι καὶ κόσμῳ παναγυρικῷ κατασκευάσαντες
crew and with-equipment festive having-fitted-out
ἐξέπεμψαν. ἦν δ' ἄρα καὶ χειμὼν καὶ γαλήνη θαλάσσης
they-sent-off it-was and then both a-storm and calm of-sea
ἀργαλέον, ὡς ἐκείνοις συνέτυχε τότε παρ' οὐδὲν ἐλθόντας
troublesome as to-them it-happened then by nothing having-come
ἀπολέσθαι διαφυγεῖν αὖθις ἀπροσδοκήτως τὸν κίνδυνον.
to-perish to-escape again unexpectedly the danger
ἐπέπλευσαν γὰρ αὐτοῖς Λιπαρέων τριήρεις περὶ τὰς Αἰόλου
sailed-against for them of-Liparaeans triremes about the of-Aeolus
νήσους τοῦ πνεύματος ἐκλιπόντος ὡς λῃσταῖς. δεομένων
islands the wind having-failed as against-pirates begging
δὲ καὶ προϊσχομένων χεῖρας ἐμβολῆς μὲν ἔσχοντο, τὴν
and and holding-out hands from-ramming indeed they-refrained the
δὲ ναῦν ἀναψάμενοι καὶ καταγαγόντες ἀπεκήρυττον, ἅμα
and ship having-taken-in-tow and having-brought-to-land put-up-for-sale at-once
καὶ τὰ χρήματα καὶ τὰ σώματα, πειρατικὰ κρίναντες εἶναι.
both the goods and the persons piratical having-judged to-be
μόλις δ' ἑνὸς ἀνδρὸς ἀρετῇ καὶ δυνάμει Τιμησιθέου τοῦ
barely and of-one man by-the-virtue and power of-Timasitheus the
στρατηγοῦ πεισθέντες μεθῆκαν. ὁ δὲ καὶ προσκαθελκύσας
general having-been-persuaded released-them he and also having-launched-beside
ἴδια πλοῖα παρέπεμψε καὶ συγκαθιέρωσε τὸ ἀνάθημα·
own vessels escorted-them and joined-in-dedicating the offering
δι' ὃ καὶ τιμὰς ἔσχεν, ἃς εἰκὸς ἦν, ἐν Ῥώμῃ.
because-of which also honors he-had which fitting was in Rome

Elected military tribune again, Camillus besieged Falerii. A schoolmaster led the Falerian boys out to the Roman outposts and offered them to him; Camillus, saying that war too has laws for good men, had the traitor stripped and bound and the boys drive him home with rods. The Falerians gave themselves up, and Camillus made peace with them. The soldiers, robbed of their plunder, and the people, forced by him to vote down the law dividing the city, turned against him; he lost a son, was charged by Lucius Apuleius with stealing Tyrrhenian spoils, and went into exile, praying at the gate that Rome would soon repent and need him.

τῶν δὲ δημάρχων αὖθις ἐπεγειρόντων τὸν περὶ τοῦ 9
the and tribunes again stirring-up the about the
διοικισμοῦ νόμον, ὁ πρὸς Φαλίσκους πόλεμος ἐν καιρῷ
division-of-the-city law the against Faliscans war in good-time
παραφανεὶς ἔδωκε τοῖς πρώτοις ἀνδράσιν ἀρχαιρεσιάσαι
having-appeared allowed the first men to-hold-elections
κατὰ γνώμην καὶ Κάμιλλον ἀποδεῖξαι μεθ' ἑτέρων πέντε
according-to judgment and Camillus to-appoint with others five
χιλίαρχον, ὡς τῶν πραγμάτων ἡγεμόνος δεομένων ἀξίωμα
military-tribune as the affairs a-leader needing dignity
καὶ δόξαν μετ' ἐμπειρίας ἔχοντος. ψηφισαμένου δὲ τοῦ δήμου
and reputation with experience having having-voted and the people
λαβὼν δύναμιν ὁ Κάμιλλος εἰς τὴν Φαλίσκων ἐνέβαλε·
having-taken a-force — Camillus into the of-Faliscans invaded
καὶ πόλιν ἐρυμνὴν κατεσκευασμένην πᾶσιν εἰς πόλεμον
and a-city strong furnished with-everything for war
καλῶς Φαλερίους ἐπολιόρκει, τὸ μὲν ἑλεῖν οὐ μικρὸν ἔργον
well Falerii besieged the indeed to-take not small a-task
οὐδὲ χρόνου τοῦ τυχόντος ἡγούμενος, ἄλλως δὲ τρίβειν
nor time the ordinary considering otherwise and to-wear-out
τοὺς πολίτας καὶ περισπᾶν βουλόμενος, ὡς μὴ σχολάζοιεν
the citizens and to-distract wishing so-that not they-might-be-idle

οἴκοι καθήμενοι δημαγωγεῖσθαι καὶ στασιάζειν. ἐπιεικῶς
at-home sitting to-be-led-by-demagogues and to-be-factious fairly
γὰρ ἀεὶ φαρμάκῳ τούτῳ χρώμενοι διετέλουν, ὥσπερ
for always remedy this using continued like
ἰατροί, τὰ ταρακτικὰ πάθη τῆς πολιτείας ἔξω τρέποντες.
physicians the disturbing ills of-the state outside turning
οὕτως δὲ τῆς πολιορκίας κατεφρόνουν οἱ Φαλέριοι τῷ
so and the siege despised the Falerians by-the
πανταχόθεν ἐξωχυρῶσθαι πιστεύοντες, ὥστε πλὴν τῶν
on-all-sides to-be-fortified trusting so-that except the(-men)
τὰ τείχη φυλαττόντων τοὺς ἄλλους ἐν ἱματίοις κατὰ τὴν
the walls guarding the others in cloaks through the
πόλιν ἀναστρέφεσθαι, τοὺς δὲ παῖδας αὐτῶν εἴς τε τὰ
city to-go-about the and children their both to the
διδασκαλεῖα φοιτᾶν καὶ παρὰ τὰ τείχη περιπατήσοντας καὶ
schools to-go and beside the walls going-to-walk-about and
γυμνασομένους ὑπὸ τοῦ διδασκάλου καταβιβάζεσθαι. κοινῷ
going-to-exercise by the teacher to-be-brought-down common
γὰρ ἐχρῶντο τῷ διδασκάλῳ, ὥσπερ Ἕλληνες, οἱ Φαλέριοι,
for they-used the teacher like Greeks the Falerians
βουλόμενοι συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων
wishing to-be-reared-together and to-herd-together with one-another
εὐθὺς ἐξ ἀρχῆς τοὺς παῖδας. οὗτος οὖν ὁ διδάσκαλος
right from beginning the children this then the teacher
ἐπιβουλεύων τοῖς Φαλερίοις διὰ τῶν παίδων ἐξῆγεν
plotting-against the Falerians through the children led-out
αὐτοὺς ἡμέρας ἑκάστης ὑπὸ τὸ τεῖχος ἐγγὺς τὸ πρῶτον,
them day each under the wall near the first
εἶτ' ἀπῆγεν αὖθις εἴσω γυμνασαμένους. ἐκ δὲ τούτου
then led-back again inside having-exercised from and this
κατὰ μικρὸν ὑπάγων εἴθισε θαρρεῖν ὡς πολλῆς οὔσης
by little leading-on accustomed to-be-bold as much being

ἀδείας, καὶ τέλος ἔχων ἅπαντας εἰς τοὺς προφύλακας
security and finally having all into the outposts
τῶν Ῥωμαίων ἐνέβαλε καὶ παρέδωκεν, ἄγειν κελεύσας
of-the Romans threw and handed-over to-lead ordering
πρὸς τὸν Κάμιλλον. ἀχθεὶς δὲ καὶ καταστὰς εἰς
to — Camillus having-been-led and and having-stood into
μέσον ἔλεγε παιδευτὴς μὲν εἶναι καὶ διδάσκαλος, τὴν δὲ
the-middle he-said teacher indeed to-be and instructor the but
πρὸς ἐκεῖνον χάριν ἀντὶ τούτων ἑλόμενος τῶν δικαίων,
toward him favor instead-of these having-chosen of-the just-duties
ἥκειν αὐτῷ τὴν πόλιν ἐν τοῖς παισὶ κομίζων. δεινὸν
to-have-come to-him the city in the children bringing terrible
οὖν ἀκούσαντι τὸ ἔργον ἐφάνη Καμίλλῳ· καὶ πρὸς τοὺς
then having-heard the deed appeared to-Camillus and to the(-men)
παρόντας εἰπών, ὡς χαλεπὸν μέν ἐστι πόλεμος καὶ διὰ
present having-said that hard indeed is war and through
πολλῆς ἀδικίας καὶ βιαίων περαινόμενος ἔργων, εἰσὶ δὲ
much injustice and violent accomplished deeds are but
καὶ πολέμων ὅμως τινὲς νόμοι τοῖς ἀγαθοῖς ἀνδράσι, καὶ
also of-wars nevertheless some laws for-the good men and
τὸ νικᾶν οὐχ οὕτω διωκτέον, ὥστε μὴ φεύγειν τὰς ἐκ
the to-conquer not so to-be-pursued so-that not to-shun the from
κακῶν καὶ ἀσεβῶν ἔργων χάριτας (ἀρετῇ γὰρ οἰκείᾳ τὸν
evil and impious deeds favors by-virtue for own the
μέγαν στρατηγόν, οὐκ ἀλλοτρίᾳ θαρροῦντα κακίᾳ χρῆναι
great general not by-another's trusting baseness ought
στρατεύειν), προσέταξε τοῖς ὑπηρέταις τοῦ μὲν ἀνθρώπου
to-campaign he-ordered to-the attendants of-the indeed man
καταρρηγνύναι τὰ ἱμάτια καὶ τὰς χεῖρας ὀπίσω περιάγειν,
to-tear the cloaks and the hands behind to-draw-round
τοῖς δὲ παισὶ διαδοῦναι ῥάβδους καὶ μάστιγας, ὅπως
the and children to-give-out rods and whips so-that

κολάζοντες τὸν προδότην ἐλαύνωσιν εἰς τὴν πόλιν. ἄρτι δὲ
punishing the traitor they-might-drive into the city just and
τῶν Φαλερίων ἠσθημένων τὴν τοῦ διδασκάλου προδοσίαν
the Falerians having-perceived the of-the teacher betrayal
καὶ τὴν μὲν πόλιν, οἷον εἰκός, ἐπὶ συμφορᾷ τηλικαύτῃ
and the indeed city as is-likely at disaster so-great
θρήνου κατέχοντος, ἀνδρῶν δ' ὁμοῦ καὶ γυναικῶν ἐπὶ
lamentation holding of-men and together and women to
τὰ τείχη καὶ τὰς πύλας σὺν οὐδενὶ λογισμῷ φερομένων,
the walls and the gates with no reasoning rushing
προσῆγον οἱ παῖδες τὸν διδάσκαλον γυμνὸν καὶ δεδεμένον
brought-forward the children the teacher naked and bound
προπηλακίζοντες, τὸν δὲ Κάμιλλον σωτῆρα καὶ πατέρα
abusing — and Camillus savior and father
καὶ θεὸν ἀνακαλοῦντες, ὥστε μὴ μόνον τοῖς γονεῦσι τῶν
and god calling-upon so-that not only to-the parents of-the
παίδων, ἀλλὰ καὶ τοῖς ἄλλοις πολίταις ταῦθ' ὁρῶσι θαῦμά
children but also to-the other citizens these-things seeing wonder
τε καὶ πόθον ἐμπεσεῖν τῆς τοῦ Καμίλλου δικαιοσύνης.
both and longing to-fall-upon for-the — of-Camillus justice
καὶ συνδραμόντες εἰς ἐκκλησίαν πρέσβεις ἔπεμψαν ἐκείνῳ
and having-run-together into assembly envoys they-sent to-him
τὰ καθ' ἑαυτοὺς ἐπιτρέποντες, οὓς ὁ Κάμιλλος
the-affairs concerning themselves entrusting whom — Camillus
ἀπέστειλεν εἰς Ῥώμην. ἐν δὲ τῇ βουλῇ καταστάντες εἶπον,
sent to Rome in and the senate having-stood they-said
ὅτι Ῥωμαῖοι τῆς νίκης τὴν δικαιοσύνην προτιμήσαντες
that Romans than-the victory the justice having-preferred
ἐδίδαξαν αὐτοὺς τὴν ἧτταν ἀγαπῆσαι πρὸ τῆς ἐλευθερίας,
taught them the defeat to-welcome before the freedom
οὐ τοσοῦτον τῇ δυνάμει λείπεσθαι δοκοῦντας, ὅσον
not so-much in-the power to-be-inferior thinking as-much-as

ἡττᾶσθαι τῆς ἀρετῆς ὁμολογοῦντας. ἀποδούσης δὲ τῆς
to-be-worsted by-the virtue confessing having-given-back and the
βουλῆς πάλιν ἐκείνῳ τὸ κρῖναι καὶ διαιτῆσαι ταῦτα,
senate again to-him the to-judge and to-arbitrate these-things
χρήματα λαβὼν παρὰ τῶν Φαλερίων καὶ φιλίαν πρὸς
money having-taken from the Falerians and friendship with
ἅπαντας Φαλίσκους θέμενος ἀνεχώρησεν.
all Faliscans having-made he-withdrew
οἱ δὲ στρατιῶται διαρπάσειν προσδοκήσαντες τοὺς 11
the and soldiers going-to-plunder having-expected the
Φαλερίους, ὡς ἐπανῆλθον εἰς Ῥώμην κεναῖς χερσί,
Falerians when they-returned to Rome with-empty hands
κατηγόρουν τοῦ Καμίλλου πρὸς τοὺς ἄλλους πολίτας ὡς
accused — Camillus to the other citizens as
μισοδήμου καὶ φθονήσαντος ὠφεληθῆναι τοῖς πένησιν. ἐπεὶ δὲ
people-hating and having-begrudged to-be-benefited the poor when and
τὸν περὶ τοῦ διοικισμοῦ νόμον οἱ δήμαρχοι προθέντες αὖθις
the about the division-of-the-city law the tribunes having-proposed again
ἐπὶ τὴν ψῆφον ἐκάλουν τὸν δῆμον, ὁ δὲ Κάμιλλος οὐδεμιᾶς
to the vote called the people — and Camillus no
ἀπεχθείας οὐδὲ παρρησίας φεισάμενος ἐφάνη μάλιστα
hatred nor frankness having-spared appeared most
πάντων ἐκβιαζόμενος τοὺς πολλούς, τὸν μὲν νόμον ἄκοντες
of-all forcing the many the indeed law unwilling
ἀπεψηφίσαντο, τὸν δὲ Κάμιλλον δι' ὀργῆς εἶχον, ὥστε καὶ
they-voted-down — but Camillus in anger they-held so-that even
δυστυχήσαντος αὐτοῦ περὶ τὰ οἰκεῖα (τῶν γὰρ υἱῶν
having-been-unfortunate him in his household-affairs of-the for sons
ἀπέβαλε τὸν ἕτερον νοσήσαντα) μηδὲν οἴκτῳ τῆς ὀργῆς
he-lost the one having-fallen-ill nothing out-of-pity of-the anger
ὑφέσθαι. καίτοι τὸ πάθος οὐ μετρίως ἤνεγκεν ἀνὴρ ἥμερος
to-abate although the grief not moderately he-bore a-man gentle

φύσει καὶ χρηστός, ἀλλὰ τῆς δίκης προγεγραμμένης αὐτῷ
by-nature and good but the suit having-been-posted against-him
διὰ πένθος οἰκούρει καθειργμένος μετὰ τῶν γυναικῶν.
because-of mourning he-kept-at-home shut-up with the women
12 ὁ μὲν οὖν κατήγορος ἦν Λεύκιος Ἀπουλήϊος, ἔγκλημα
the indeed then accuser was Lucius Apuleius the-charge
δὲ κλοπῆς περὶ τὰ Τυρρηνικὰ χρήματα. καὶ δῆτα καὶ
and of-theft concerning the Tyrrhenian goods and indeed also
θύραι τινὲς ἐλέγοντο χαλκαῖ παρ᾽ αὐτῷ φανῆναι τῶν
doors some were-said bronze with him to-have-appeared of-the
αἰχμαλώτων. ὁ δὲ δῆμος ἐξηρέθιστο καὶ δῆλος ἦν ἐκ
captives the and people had-been-provoked and plain was on
πάσης προφάσεως κατ᾽ αὐτοῦ τῇ ψήφῳ χρησόμενος. οὕτως
every pretext against him the vote going-to-use so
οὖν συναγαγὼν τούς τε φίλους καὶ τοὺς συστρατευσαμένους
then having-gathered the both friends and the fellow-soldiers
οὐκ ὀλίγους τὸ πλῆθος ὄντας, ἐδεῖτο μὴ περιϊδεῖν αὐτὸν
not few the number being he-begged not to-look-on-at him
ἀδίκως ἐπ᾽ αἰτίαις πονηραῖς ὀφλόντα καὶ καταγέλαστον
unjustly on charges base convicted and laughable
ὑπὸ τῶν ἐχθρῶν γενόμενον. ἐπεὶ δ᾽ οἱ φίλοι βουλευσάμενοι
by the enemies having-become when and the friends having-deliberated
καὶ διαλεχθέντες ἑαυτοῖς ἀπεκρίναντο, πρὸς μὲν
and having-discussed among-themselves answered as-to indeed
τὴν κρίσιν αὐτῷ μηδὲν οἴεσθαι βοηθήσειν, τὴν δὲ
the trial him nothing to-think to-be-going-to-help the but
ζημίαν ὀφλόντι συνεκτίσειν, οὐκ ἀνασχόμενος ἔγνω
fine him-convicted to-be-going-to-help-pay not having-endured he-decided
μεταστῆναι καὶ φυγεῖν ἐκ τῆς πόλεως πρὸς ὀργήν.
to-withdraw and to-go-into-exile from the city in anger
ἀσπασάμενος οὖν τὴν γυναῖκα καὶ τὸν υἱὸν ἐπὶ τῆς οἰκίας
having-embraced then the wife and the son from the house

προῄει σιωπῇ μέχρι τῆς πύλης· ἐκεῖ δὲ ἐπέστη, καὶ
he-went-forward in-silence as-far-as the gate there and he-stopped and
μεταστραφεὶς ὀπίσω καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὸ
having-turned-round back and the hands having-raised toward —
Καπιτώλιον ἐπεύξατο τοῖς θεοῖς, εἰ μὴ δικαίως, ἀλλ'
Capitol prayed to-the gods if not justly but
ὕβρει δήμου καὶ φθόνῳ προπηλακιζόμενος ἐκπίπτει,
by-the-insolence of-the-people and envy insulted he-is-cast-out
ταχὺ Ῥωμαίους μετανοῆσαι καὶ πᾶσιν ἀνθρώποις φανερὸς
quickly Romans to-repent and to-all men manifest
γενέσθαι δεομένους αὐτοῦ καὶ ποθοῦντας Κάμιλλον.
to-become needing him and longing-for Camillus

13–16 · THE GAULS COME

Condemned in his absence to a fine of 15,000 asses, Camillus left Rome to a retribution soon felt. The censor Julius died, and Marcus Caedicius heard a voice in the night warn that the Gauls were coming, and was laughed at. The Gauls, Celts driven from home by their numbers, had poured beyond the Alps after tasting Italian wine, which Arruns, a Tyrrhenian, brought them to avenge the seduction of his wife by his ward Lucumo; long before, they had taken the rich land of the Tyrrhenians between the Alps and the two seas.

13

ἐκεῖνος μὲν οὖν, ὥσπερ ὁ Ἀχιλλεὺς, ἀρὰς θέμενος ἐπὶ
he indeed then like — Achilles curses having-laid upon
τοὺς πολίτας καὶ μεταστὰς ὤφλε τὴν δίκην
the citizens and having-withdrawn was-condemned-in the suit
ἐρήμην, τίμημα μυρίων καὶ πεντακισχιλίων ἀσσαρίων
by-default a-fine of-ten-thousand and five-thousand asses
ἔχουσαν. ὃ γίνεται πρὸς ἀργυρίου λόγον χίλιαι δραχμαὶ
having which amounts in of-silver reckoning thousand drachmas

καὶ πεντακόσιαι· ἀσσάριον γὰρ ἦν τὸ ἀργύριον, καὶ
and five-hundred the-as for was the money and
τὸ δεκάχαλκον οὕτως ἐκαλεῖτο δηνάριον. οὐδεὶς δ' ἐστὶ
the ten-copper-piece so was-called denarius no-one and is
Ῥωμαίων, ὃς οὐ νομίζει τὰς εὐχὰς τοῦ Καμίλλου ταχὺ τὴν
of-Romans who not thinks the prayers — of-Camillus quickly —
Δίκην ὑπολαβεῖν, καὶ γενέσθαι τιμωρίαν αὐτῷ τῆς ἀδικίας
Justice to-have-taken-up and to-have-become vengeance for-him of-the injustice
οὐκ ἡδεῖαν, ἀλλ' ἀνιαράν, ὀνομαστὴν δὲ καὶ περιβόητον·
not pleasant but grievous famous and and notorious
τοσαύτη περιῆλθε τὴν Ῥώμην νέμεσις, καὶ τοσοῦτον ἄγων
so-great came-round — Rome retribution and so-much bringing
φθόρον καὶ κίνδυνον ἅμα μετ' αἰσχύνης ἐφάνη καιρὸς ἐπὶ
ruin and danger at-once with disgrace appeared the-time upon
τὴν πόλιν, εἴτε τῆς τύχης οὕτω συνελθούσης, εἴτε καὶ θεῶν
the city whether the fortune so having-come-together or also of-gods
τινος ἔργον ἐστὶ μὴ παραμελεῖν ἀρετῆς ἀχαριστουμένης.
some work it-is not to-neglect virtue treated-with-ingratitude
14 πρῶτον μὲν οὖν ἔδοξε σημεῖον γεγονέναι κακοῦ μεγάλου
first indeed then seemed a-sign to-have-been of-evil great
προσιόντος ἡ Ἰουλίου τοῦ τιμητοῦ τελευτή· μάλιστα γὰρ
approaching the of-Julius the censor death most for
δὴ Ῥωμαῖοι σέβονται καὶ νομίζουσιν ἱερὰν τὴν τῶν
indeed Romans revere and consider sacred the of-the
τιμητῶν ἀρχήν. δεύτερον δὲ πρὸ τῆς Καμίλλου φυγῆς
censors office second and before the of-Camillus exile
ἀνὴρ οὐκ ἐπιφανὴς μὲν οὐδὲ ἐκ τῆς βουλῆς, ἐπιεικὴς
a-man not distinguished indeed nor from the senate fair
δὲ καὶ χρηστὸς εἶναι δοκῶν, Μάρκος Καιδίκιος, ἀνήνεγκε
but and good to-be seeming Marcus Caedicius reported
πρὸς τοὺς χιλιάρχους πρᾶγμα φροντίδος ἄξιον. ἔφη
to the military-tribunes a-matter of-thought worthy he-said

γὰρ ἐν τῇ παρῳχημένῃ νυκτὶ καθ᾽ ὁδὸν βαδίζων, ἣν
for in the past night along road walking which
Καινὴν ὀνομάζουσι, κληθεὶς ὑπό τινος φθεγξαμένου
New they-call having-been-called by someone having-spoken
μεταστραφῆναι, καὶ θεάσασθαι μὲν οὐδένα, φωνῆς δὲ
to-turn-round and to-have-seen indeed no-one of-a-voice but
μείζονος ἢ κατ᾽ ἀνθρωπίνην ἀκοῦσαι τάδε λεγούσης·
louder than by human to-have-heard these-things saying
"ἄγε, Μᾶρκε Καιδίκιε, λέγε πρὸς τοὺς ἄρχοντας ἕωθεν
come Marcus Caedicius tell to the magistrates at-dawn
ἐλθὼν ὀλίγου χρόνου Γαλάτας προσδέχεσθαι." ταῦτ᾽
having-gone of-a-little time Gauls to-expect these-things
ἀκούσαντες οἱ χιλίαρχοι γέλωτα καὶ παιδιὰν ἐποιοῦντο.
having-heard the military-tribunes laughter and jest made
καὶ μετ᾽ ὀλίγον συνέβη τὰ περὶ Κάμιλλον.
and after little it-happened the-things about Camillus
οἱ δὲ Γαλάται τοῦ Κελτικοῦ γένους ὄντες ὑπὸ πλήθους 15
the and Gauls of-the Celtic race being because-of number
λέγονται τὴν αὑτῶν ἀπολιπόντες, οὐκ οὖσαν αὐτάρκη
are-said the their-own having-left not being sufficient
τρέφειν ἅπαντας, ἐπὶ γῆς ζήτησιν ἑτέρας ὁρμῆσαι·
to-feed all for of-land search other to-have-set-out
μυριάδες δὲ πολλαὶ γενόμενοι νέων ἀνδρῶν καὶ μαχίμων,
tens-of-thousands and many being of-young men and warlike
ἔτι δὲ πλείους παίδων καὶ γυναικῶν ἄγοντες, οἱ μὲν
still and more of-children and women bringing the(-ones) indeed
ἐπὶ τὸν βόρειον Ὠκεανὸν ὑπερβαλόντες τὰ Ῥιπαῖα ὄρη
to the northern Ocean having-crossed the Rhipaean mountains
ῥυῆναι καὶ τὰ ἔσχατα τῆς Εὐρώπης κατασχεῖν,
to-have-streamed and the farthest-parts — of-Europe to-have-occupied
οἱ δὲ μεταξὺ Πυρρήνης ὄρους καὶ τῶν Ἄλπεων
the(-others) and between Pyrene mountain and the Alps

ἱδρυθέντες ἐγγὺς Σενώνων καὶ Κελτορίων κατοικεῖν χρόνον
having-settled near Senones and Celtorii to-have-dwelt time
πολύν· ὀψὲ δ' οἴνου γευσάμενοι τότε πρῶτον ἐξ Ἰταλίας
long late and wine having-tasted then first from Italy
διακομισθέντος οὕτως ἄρα θαυμάσαι τὸ πόμα καὶ πρὸς
carried-across so then to-have-marveled-at the drink and at
τὴν καινότητα τῆς ἡδονῆς ἔκφρονες γενέσθαι πάντες,
the novelty of-the pleasure out-of-their-minds to-have-become all
ὥστε ἀράμενοι τὰ ὅπλα καὶ γενεὰς ἀναλαβόντες ἐπὶ
so-that having-taken-up the arms and families having-taken-along to
τὰς Ἄλπεις φέρεσθαι καὶ ζητεῖν ἐκείνην τὴν γῆν, ἣ
the Alps to-have-rushed and to-have-sought that the land which
τοιοῦτον καρπὸν ἀναδίδωσι, τὴν δ' ἄλλην ἄκαρπον ἡγεῖσθαι
such fruit yields the and other fruitless to-consider
καὶ ἀνήμερον. ὁ δ' εἰσαγαγὼν τὸν οἶνον πρὸς αὐτοὺς καὶ
and wild he and having-introduced the wine to them and
παροξύνας ἐπὶ τὴν Ἰταλίαν μάλιστα καὶ πρῶτος Ἄρρων
having-urged-on to — Italy most and first Arruns
λέγεται γενέσθαι Τυρρηνός, ἀνὴρ ἐπιφανὴς καὶ φύσει
it-is-said to-have-been a-Tyrrhenian a-man distinguished and by-nature
μὲν οὐ πονηρός, συμφορᾷ δὲ τοιαύτῃ χρησάμενος. ἦν
indeed not wicked misfortune but such having-met he-was
ἐπίτροπος παιδὸς ὀρφανοῦ πλούτῳ τε πρώτου τῶν πολιτῶν
guardian of-a-child orphan in-wealth both first of-the citizens
καὶ θαυμαζομένου κατ' εἶδος, ὄνομα Λουκούμωνος. οὗτος
and admired for beauty by-name Lucumo he
ἐκ νέου παρὰ τῷ Ἄρρωνι δίαιταν εἶχε, καὶ μειράκιον ὢν
from youth with — Arruns livelihood had and a-youth being
οὐκ ἀπέλιπε τὴν οἰκίαν, ἀλλὰ προσεποιεῖτο χαίρειν συνὼν
not left the house but pretended to-rejoice being-with
ἐκείνῳ. καὶ πολὺν χρόνον ἐλάνθανε διεφθαρκὼς αὐτοῦ τὴν
him and long time escaped-notice having-corrupted his the

γυναῖκα καὶ διεφθαρμένος ὑπ᾽ ἐκείνης· ἤδη δὲ πόρρω
wife and having-been-corrupted by her already but far-on
τοῦ πάθους ἀμφοτέρων γεγονότων καὶ μήτ᾽ ἀφεῖναι τὴν
in-the passion both having-come and neither to-let-go the
ἐπιθυμίαν μήτε κρύπτειν ἔτι δυναμένων, ὁ μὲν νεανίσκος
desire nor to-hide any-longer being-able the indeed young-man
ἐπεχείρει φανερῶς ἀποσπάσας ἔχειν τὴν ἄνθρωπον, ὁ δ᾽
tried openly having-carried-off to-have the woman the and
ἀνὴρ ἐπὶ δίκην ἐλθὼν καὶ κρατούμενος πλήθει φίλων
husband to court having-gone and being-overcome by-the-number of-friends
καὶ χρημάτων δαπάναις ὑπὸ τοῦ Λουκούμωνος ἐξέλιπε
and of-money by-expenditures by — Lucumo left
τὴν ἑαυτοῦ· καὶ πυθόμενος τὰ τῶν Γαλατῶν ἥκεν εἰς
the his-own and having-learned the-ways of-the Gauls came to
αὐτοὺς καὶ καθηγήσατο τῆς εἰς τὴν Ἰταλίαν στρατείας.
them and led-the-way for-the into — Italy expedition
οἱ δ᾽ ἐμβαλόντες εὐθὺς ἐκράτουν τῆς χώρας ὅσην 16
they and having-invaded at-once mastered the country as-much-as
τὸ παλαιὸν οἱ Τυρρηνοὶ κατεῖχον, ἀπὸ τῶν Ἄλπεων ἐπ᾽
the of-old the Tyrrhenians held from the Alps to
ἀμφοτέρας καθήκουσαν τὰς θαλάσσας, ὡς καὶ τοὔνομα
both extending the seas as also the-name
μαρτυρεῖ τῷ λόγῳ. τὴν μὲν γὰρ βόρειον θάλατταν
bears-witness to-the account the indeed for northern sea
Ἀδρίαν καλοῦσιν ἀπὸ Τυρρηνικῆς πόλεως Ἀδρίας, τὴν δὲ
Adriatic they-call from Tyrrhenian city Adria the and
πρὸς νότον κεκλιμένην ἄντικρυς Τυρρηνικὸν πέλαγος. πᾶσα
toward south sloping directly Tyrrhenian sea all
δ᾽ ἐστὶ δενδρόφυτος αὕτη καὶ θρέμμασιν εὔβοτος καὶ
and is wooded this and for-flocks good-pasturing and
κατάρρυτος ποταμοῖς. καὶ πόλεις εἶχεν ὀκτωκαίδεκα καλὰς
well-watered by-rivers and cities had eighteen fine

καὶ μεγάλας καὶ κατεσκευασμένας πρός τε χρηματισμὸν
and great and furnished for both money-making
ἐργατικῶς καὶ πρὸς δίαιταν πανηγυρικῶς, ἃς οἱ Γαλάται
industriously and for living festively which the Gauls
τοὺς Τυρρηνοὺς ἐκβαλόντες αὐτοὶ κατέσχον. ἀλλὰ ταῦτα
the Tyrrhenians having-expelled themselves occupied but these-things
μὲν ἐπράχθη συχνῷ τινι χρόνῳ πρότερον.
indeed were-done considerable some time before

17–20 · THE ALLIA

The Gauls besieged Clusium, and the Fabii, sent as envoys, heard Brennus say that might gives the stronger the goods of the weaker, as Rome's own conquests showed. Quintus Fabius fought and killed a Gaul in the battle, and Brennus, marching on Rome for him, hurried when the people made the guilty envoys military tribunes. At the Allia the untrained Romans, with no dictator and no favorable omens, were routed; Plutarch lists lucky and unlucky days. Had the Gauls pursued, Rome would have perished; instead the Capitol was fortified, and the Vestals fled with the sacred fire, about whose meaning and the Palladium he reports what is said.

17 οἱ δὲ Γαλάται τότε πρὸς πόλιν Τυρρηνίδα Κλούσιον
the and Gauls then against city Tyrrhenian Clusium
στρατεύσαντες ἐπολιόρκουν. οἱ δὲ Κλουσῖνοι καταφυγόντες
having-marched besieged the and Clusians having-fled
ἐπὶ τοὺς Ῥωμαίους ᾐτήσαντο πρέσβεις παρ' αὐτῶν καὶ
to the Romans asked-for envoys from them and
γράμματα πρὸς τοὺς βαρβάρους. ἐπέμφθησαν δὲ τοῦ
letters to the barbarians were-sent and of-the
Φαβίων γένους τρεῖς ἄνδρες εὐδόκιμοι καὶ τιμὰς μεγάλας
Fabii family three men reputable and honors great
ἔχοντες ἐν τῇ πόλει. τούτους ἐδέξαντο μὲν οἱ Γαλάται
having in the city these received indeed the Gauls

φιλανθρώπως διὰ τὸ τῆς Ῥώμης ὄνομα, καὶ παυσάμενοι
kindly because-of the — of-Rome name and having-ceased
τῆς πρὸς τὰ τείχη μάχης εἰς λόγους συνῆλθον.
from-the at the walls fighting into talks came
πυνθανομένων δ' αὐτῶν, ὅ τι παθόντες ὑπὸ
inquiring and them what ever having-suffered at-the-hands-of
Κλουσίνων ἥκοιεν ἐπὶ τὴν πόλιν, γελάσας ὁ βασιλεὺς
Clusians they-had-come against the city having-laughed the king
τῶν Γαλατῶν Βρέννος, "ἀδικοῦσιν ἡμᾶς," ἔφη, "Κλουσῖνοι
of-the Gauls Brennus wrong us he-said Clusians
γῆν καὶ χώραν ὀλίγην μὲν γεωργεῖν δυνάμενοι, πολλὴν δὲ
land and country little indeed to-farm being-able much but
κατέχειν ἀξιοῦντες καὶ μὴ μεταδιδόντες ἡμῖν ξένοις οὖσι
to-hold claiming and not sharing with-us strangers being
καὶ πολλοῖς καὶ πένησι. ταῦτα δ' ἄρα καὶ ὑμᾶς ἠδίκουν,
and many and poor these-things and then also you they-wronged
ὦ Ῥωμαῖοι, πρότερον μὲν Ἀλβανοὶ καὶ Φιδηνᾶται καὶ
O Romans formerly indeed Albans and Fidenates and
Ἀρδεᾶται, νῦν δὲ Οὐήϊοι καὶ Καπηνᾶται καὶ πολλοὶ
Ardeates now and Veientines and Capenates and many
Φαλίσκων καὶ Οὐολούσκων· ἐφ' οὓς ὑμεῖς στρατεύοντες,
of-Faliscans and of-Volscians against whom you marching
ἐὰν μὴ μεταδιδῶσιν ὑμῖν τῶν ἀγαθῶν, ἀνδραποδίζεσθε
if not they-share with-you of-the goods you-enslave
καὶ λεηλατεῖτε καὶ κατασκάπτετε τὰς πόλεις αὐτῶν, οὐδὲν
and plunder and raze the cities their nothing
οὐδὲ ὑμεῖς γε δεινὸν οὐδὲ ἄδικον ποιοῦντες, ἀλλὰ τῷ
nor you at-least terrible nor unjust doing but the
πρεσβυτάτῳ τῶν νόμων ἀκολουθοῦντες, ὃς τῷ κρείττονι
oldest of-the laws following which to-the stronger
τὰ τῶν ἡττόνων δίδωσιν ἀρχόμενος ἀπὸ τοῦ θεοῦ καὶ
the-things of-the weaker gives beginning from the god and

τελευτῶν εἰς τὰ θηρία. καὶ γὰρ τούτοις ἐκ φύσεως ἔνεστι
ending in the beasts and for in-these by nature is-inherent
τὸ ζητεῖν πλέον ἔχειν τὰ κρείττονα τῶν ὑποδεεστέρων.
the to-seek more to-have the stronger than-the weaker
Κλουσίνους δὲ παύσασθε πολιορκουμένους οἰκτείροντες, ὡς
Clusians but stop being-besieged pitying so-that
μὴ καὶ Γαλάτας διδάξητε χρηστοὺς καὶ φιλοικτίρμονας
not also Gauls you-teach good and compassionate
γενέσθαι τοῖς ὑπὸ Ῥωμαίων ἀδικουμένοις." ἐκ τούτων
to-become to-the(-men) by Romans being-wronged from these
τῶν λόγων ἔγνωσαν οἱ Ῥωμαῖοι τὸν Βρέννον ἀσυμβάτως
the words knew the Romans — Brennus irreconcilably
ἔχοντα, καὶ παρελθόντες εἰς τὸ Κλούσιον ἐθάρρυνον καὶ
disposed and having-gone into — Clusium encouraged and
παρώρμων τοὺς ἄνδρας ἐπεξελθεῖν τοῖς βαρβάροις μετ'
urged-on the men to-sally-out against-the barbarians with
αὐτῶν, εἴτε τὴν ἐκείνων ἀλκὴν καταμαθεῖν εἴτε τὴν
them whether the their strength to-learn or the
ἑαυτῶν ἐπιδείξασθαι θέλοντες. ἐκδρομῆς δὲ τῶν Κλουσίνων
their-own to-display wishing a-sally and of-the Clusians
καὶ μάχης παρὰ τὰ τείχη γενομένης εἷς τῶν Φαβίων,
and a-battle beside the walls having-happened one of-the Fabii
Κόϊντος Ἄμβουστος, ἵππον ἔχων ἐλήλασεν ἀντίος ἀνδρὶ
Quintus Ambustus a-horse having had-ridden against a-man
μεγάλῳ καὶ καλῷ Γαλάτῃ πολὺ προϊππεύοντι τῶν ἄλλων,
big and handsome a-Gaul far riding-ahead of-the others
ἀγνοηθεὶς ἐν ἀρχῇ διὰ τὸ τὴν σύνοδον ὀξεῖαν γενέσθαι
unrecognized at first because-of the the encounter sharp to-be
καὶ τὰ ὅπλα περιλάμποντα τὴν ὄψιν ἀποκρύπτειν. ὡς
and the arms flashing the face to-hide when
δ' ἐπικρατήσας τῇ μάχῃ καὶ καταβαλὼν ἐσκύλευε τὸν
but having-prevailed in-the fight and having-thrown-down he-stripped the

ἄνθρωπον, γνωρίσας ὁ Βρέννος αὐτὸν ἐπεμαρτύρατο
man having-recognized — Brennus him called-to-witness
θεούς, ὡς παρὰ τὰ κοινὰ καὶ νενομισμένα πᾶσιν ἀνθρώποις
gods that against the common and customary for-all men
ὅσια καὶ δίκαια πρεσβευτοῦ μὲν ἥκοντος, πολέμια δὲ
holy and just-things an-envoy indeed having-come hostile-things but
εἰργασμένου. καταπαύσας δὲ τὴν μάχην αὐτίκα Κλουσίνους
having-done having-stopped and the battle at-once Clusians
μὲν εἴα χαίρειν, ἐπὶ δὲ τὴν Ῥώμην τὸν στρατὸν ἦγεν.
indeed he-bade farewell against but — Rome the army led
οὐ βουλόμενος δὲ δόξαι τὴν ἀδικίαν αὐτοῖς ὥσπερ ἀσμένοις
not wishing and to-seem the wrong to-them as-if glad
γεγονέναι καὶ δεομένοις προφάσεως, ἔπεμψεν ἐξαιτῶν
to-have-happened and wanting a-pretext he-sent demanding
ἐπὶ τιμωρίᾳ τὸν ἄνδρα καὶ προῆγεν ἅμα σχολαίως.
for punishment the man and advanced at-the-same-time slowly
ἐν δὲ Ῥώμῃ τῆς βουλῆς συναχθείσης ἄλλοι τε πολλοὶ 18
in and Rome the senate having-been-assembled others both many
τοῦ Φαβίου κατηγόρουν, καὶ τῶν ἱερέων οἱ καλούμενοι
— Fabius accused and of-the priests the(-men) called
Φητιαλεῖς ἐνῆγον ἐπιθειάζοντες καὶ κελεύοντες τὸ τῶν
Fetiales pressed invoking-the-gods and urging the of-the
πεπραγμένων ἄγος τὴν σύγκλητον εἰς ἕνα τὸν αἴτιον
done-things pollution the senate upon one the guilty-man
τρέψασαν ὑπὲρ τῶν ἄλλων ἀφοσιώσασθαι. τούτους
having-turned for the others to-expiate these
τοὺς Φητιαλεῖς Πομπίλιος Νομᾶς, βασιλέων ἡμερώτατος
the Fetiales Pompilius Numa of-kings gentlest
γενόμενος καὶ δικαιότατος, κατέστησε φύλακας μὲν
having-been and most-just established guardians indeed
εἰρήνης, ἐπιγνώμονας δὲ καὶ βεβαιωτὰς αἰτιῶν, αἳ σὺν
of-peace judges but and confirmers of-causes which with

δίκῃ πόλεμον συνάπτουσι. τῆς δὲ βουλῆς ἐπὶ τὸν δῆμον
justice war join the but senate to the people
ἀνενεγκαμένης τὸ πρᾶγμα καὶ τῶν ἱερέων ὅμοια τοῦ
having-referred the matter and the priests similarly —
Φαβίου κατηγορούντων, οὕτω περιύβρισαν οἱ πολλοὶ τὰ
Fabius accusing so insulted the many the
θεῖα καὶ κατεγέλασαν, ὥστε καὶ χιλίαρχον ἀποδεῖξαι
divine-things and mocked so-that even military-tribune to-appoint
τὸν Φάβιον μετὰ τῶν ἀδελφῶν. οἱ δὲ Κελτοὶ πυθόμενοι
— Fabius with his brothers the and Celts having-learned
ταῦτα καὶ χαλεπῶς φέροντες οὐδὲν ἐμποδὼν ἐποιοῦντο τῆς
these-things and hard bearing-it nothing in-the-way made of-the
σπουδῆς, ἀλλ' ἐχώρουν παντὶ τάχει· καὶ πρὸς τὸ πλῆθος
haste but advanced with-all speed and at the number
αὐτῶν καὶ τὴν λαμπρότητα τῆς παρασκευῆς καὶ βίαν καὶ
their and the splendor of-the equipment and force and
θυμὸν ἐκπεπληγμένων τῶν διὰ μέσου, καὶ τήν τε χώραν
spirit having-been-terrified the(-men) in-the middle and the both country
ἀπολωλέναι πᾶσαν ἤδη καὶ τὰς πόλεις εὐθὺς ἀπολεῖσθαι
to-have-perished all already and the cities at-once to-be-going-to-perish
δοκούντων, παρ' ἐλπίδας οὐδὲν ἠδίκουν οὐδ' ἐλάμβανον
thinking contrary-to hopes nothing they-wronged nor took
ἐκ τῶν ἀγρῶν, ἀλλὰ καὶ παρὰ τὰς πόλεις ἐγγὺς παρεξιόντες
from the fields but even past the cities near passing-by
ἐβόων ἐπὶ τὴν Ῥώμην πορεύεσθαι καὶ μόνοις πολεμεῖν
shouted to — Rome to-be-marching and only to-war-on
Ῥωμαίοις, τοὺς δ' ἄλλους φίλους ἐπίστασθαι. τοιαύτῃ
Romans the but others friends to-know such
δὲ χρωμένων ὁρμῇ τῶν βαρβάρων ἐξῆγον οἱ χιλίαρχοι
and using impulse the barbarians led-out the military-tribunes
τοὺς Ῥωμαίους ἐπὶ τὸν ἀγῶνα, πλήθει μὲν οὐκ ἐνδεεῖς
the Romans to the contest in-number indeed not deficient

(ἐγένοντο γὰρ ὁπλῖται τετρακισμυρίων οὐκ ἐλάσσους),
there-were for hoplites forty-thousand not fewer
ἀνασκήτους δὲ τοὺς πολλοὺς καὶ τότε πρῶτον ἁπτομένους
untrained but the many and then first handling
ὅπλων. ἔτι δ' ἐξημέλητο τὰ τῶν θεῶν αὐτοῖς οὔτε
arms still and had-been-neglected the-things of-the gods by-them neither
καλλιερήσασιν οὔτε μάντεις ἃ πρὸ κινδύνου καὶ
having-had-good-omens nor seers things-which before danger and
μάχης εἰκὸς ἦν ἐρομένοις. οὐδενὸς δὲ ἧττον ἐπετάραττεν
battle fitting was having-asked than-nothing and less disturbed
ἡ πολυαρχία τὰ πραττόμενα. καίτοι πρότερόν γε καὶ
the multiple-command the proceedings and-yet before at-least even
πρὸς ἐλάττονας ἀγῶνας εἵλοντο πολλάκις μονάρχους, οὓς
for lesser contests they-chose often sole-rulers whom
δικτάτορας καλοῦσιν, οὐκ ἀγνοοῦντες, ὅσον ἐστὶν εἰς
dictators they-call not being-unaware how-much is in
ἐπισφαλῆ καιρὸν ὄφελος μιᾷ χρωμένους γνώμῃ πρὸς
a-perilous time an-advantage with-one using judgment toward
ἀνυπεύθυνον ἀρχὴν ἐν χερσὶ τὴν δίκην ἔχουσαν εὐτακτεῖν.
unaccountable office in hands the justice having to-be-disciplined
οὐχ ἥκιστα δὲ καὶ Κάμιλλος ἀγνωμονηθεὶς ἔβλαψε
not least and also Camillus treated-ungratefully harmed
τὰ πράγματα, τοῦ μὴ πρὸς χάριν μηδὲ κολακεύοντας
the affairs the not for favor nor flattering
ἄρχειν φοβεροῦ γενομένου. προελθόντες οὖν ἀπὸ τῆς
to-rule fearful having-become having-advanced then from the
πόλεως σταδίους ἐνενήκοντα παρὰ τὸν Ἀλίαν ποταμὸν
city stades ninety beside the Allia river
ηὐλίσθησαν, οὐ πόρρω τοῦ στρατοπέδου τῷ Θύμβριδι
they-encamped not far from-the camp with-the Tiber
συμφερόμενον. ἐνταῦθα δὲ τῶν βαρβάρων ἐπιφανέντων
joining there and the barbarians having-appeared

αἰσχρῶς ἀγωνισάμενοι δι᾽ ἀταξίαν ἐτράποντο. καὶ τὸ
shamefully having-fought because-of disorder they-were-routed and the
μὲν ἀριστερὸν κέρας εὐθὺς ἐμβαλόντες εἰς τὸν ποταμὸν οἱ
indeed left wing at-once having-driven into the river the
Κελτοὶ διέφθειραν· τὸ δὲ δεξιὸν ὑπεκκλῖναν τὴν ἐπιφορὰν
Celts destroyed the and right having-swerved-from the onset
ἐκ τοῦ πεδίου πρὸς τοὺς λόφους ἧττον ἐξεκόπη· καὶ
from the plain to the hills less was-cut-off and
διεξέπεσον ἀπὸ τούτων εἰς τὴν πόλιν οἱ πολλοί. τοῖς δ᾽
escaped from these into the city the many for-the and
ἄλλοις, ὅσοι τῶν πολεμίων ἀπειπόντων πρὸς τὸν φόνον
others as-many-as the enemies having-wearied of the slaughter
ἐσώθησαν, εἰς Οὐηΐους αἱ φυγαὶ διὰ νυκτὸς ἦσαν, ὡς τῆς
were-saved to Veii the flights through night were as —
Ῥώμης οἰχομένης καὶ τῶν ἐκεῖ πάντων ἀπολωλότων.
Rome being-gone and of-the(-men) there all having-perished
19 ἐγένετο δ᾽ ἡ μάχη μετὰ τροπὰς θερινὰς περὶ τὴν
happened and the battle after solstice summer about the
πανσέληνον, ᾗ καὶ πρότερον ἡμέρᾳ μέγα πάθος συνέβη
full-moon on-which also before day great disaster happened
τὸ περὶ τοὺς Φαβίους· τριακόσιοι γὰρ ἐκ τοῦ γένους ἄνδρες
the about the Fabii three-hundred for from the family men
ὑπὸ Τυρρηνῶν ἀνῃρέθησαν. ἐκράτησε δὲ τὴν ἡμέραν ἀπὸ
by Tyrrhenians were-killed prevailed and the day from
τῆς δευτέρας ἥττης Ἀλιάδα μέχρι νῦν καλεῖσθαι διὰ τὸν
the second defeat Alliensis until now to-be-called because-of the
ποταμόν. περὶ δ᾽ ἡμερῶν ἀποφράδων, εἴτε χρὴ τίθεσθαί
river about and days unlucky whether one-must to-reckon
τινας, εἴτε ὀρθῶς Ἡράκλειτος ἐπέπληξεν Ἡσιόδῳ τὰς μὲν
some or rightly Heraclitus rebuked Hesiod the indeed
ἀγαθὰς ποιουμένῳ, τὰς δὲ φαύλας, ὡς ἀγνοοῦντι φύσιν
good making the and bad as not-knowing the-nature

ἡμέρας ἁπάσης μίαν οὖσαν, ἑτέρωθι διηπόρηται. τῇ δ'
of-day every one being elsewhere has-been-discussed to-the but
ὑποκειμένῃ γραφῇ τὸ μνημονεῦσαι παραδειγμάτων ὀλίγων
present writing the to-mention of-examples few
ἴσως ἂν ἁρμόσειε. τοῦτο μὲν τοίνυν Βοιωτοῖς Ἱπποδρομίου
perhaps — would-be-fitting this indeed then for-Boeotians of-Hippodromius
μηνός, ὡς δ' Ἀθηναῖοι καλοῦσιν Ἑκατομβαιῶνος, ἱσταμένου
month as and Athenians call of-Hecatombaeon beginning
πέμπτῃ δύο λαβεῖν συνέβη νίκας ἐπιφανεστάτας, αἷς
on-the-fifth two to-win it-happened victories most-famous by-which
τοὺς Ἕλληνας ἠλευθέρωσαν, τήν τε περὶ Λεῦκτρα καὶ
the Greeks they-freed the both at Leuctra and
τὴν ἐπὶ Κερησσῷ ταύτης πρότερον ἔτεσι πλείοσιν ἢ
the at Ceressus this before by-years more than
διακοσίοις, ὅτε Λατταμύαν καὶ Θεσσαλοὺς ἐνίκησαν. τοῦτο
two-hundred when Lattamyas and Thessalians they-conquered this
δ' αὖ πάλιν Πέρσαι μηνὸς Βοηδρομιῶνος ἕκτῃ μὲν
and again in-turn Persians of-month Boedromion on-the-sixth indeed
ἐν Μαραθῶνι, τρίτῃ δ' ἐν Πλαταιαῖς ἅμα καὶ περὶ
at Marathon on-the-third and at Plataea at-once and at
Μυκάλην ἡττήθησαν ὑπὸ τῶν Ἑλλήνων, πέμπτῃ δὲ
Mycale were-defeated by the Greeks on-the-fifth and
φθίνοντος ἐν Ἀρβήλοις. οἱ δ' Ἀθηναῖοι καὶ τὴν περὶ
of-the-waning at Arbela the and Athenians also the off
Νάξον ἐνίκων ναυμαχίαν, ἧς Χαβρίας ἐστρατήγει, τοῦ
Naxos won sea-battle which Chabrias commanded of-the
Βοηδρομιῶνος περὶ τὴν πανσέληνον, ἐν δὲ Σαλαμῖνι περὶ
Boedromion about the full-moon at and Salamis about
τὰς εἰκάδας, ὡς ἡμῖν ἐν τῷ Περὶ ἡμερῶν ἀποδέδεικται.
the twentieth as by-us in the On days has-been-shown
ἐνήνοχε δὲ καὶ ὁ Θαργηλιὼν μὴν τοῖς βαρβάροις
has-brought and also the Thargelion month to-the barbarians

ἐπιδήλως ἀτυχίας· καὶ γὰρ Ἀλέξανδρος ἐπὶ Γρανικῷ
manifestly misfortunes and for Alexander at Granicus
τοὺς βασιλέως στρατηγοὺς Θαργηλιῶνος ἐνίκησε, καὶ
the king's generals in-Thargelion conquered and
Καρχηδόνιοι περὶ Σικελίαν ὑπὸ Τιμολέοντος ἡττῶντο τῇ
Carthaginians about Sicily by Timoleon were-defeated on-the
ἑβδόμῃ φθίνοντος, περὶ ἣν δοκεῖ καὶ τὸ Ἴλιον ἁλῶναι,
seventh of-the-waning on which seems also — Ilium to-have-been-taken
Θαργηλιῶνος, ὡς Ἔφορος καὶ Καλλισθένης καὶ Δαμάστης
in-Thargelion as Ephorus and Callisthenes and Damastes
ταῖς ἰδιωτικαῖς οἰκοδομαῖς ἀναστῆναι πάλιν. οἱ δὲ
in-the private buildings to-have-risen again the(-men) and
τοὺς ἱεροὺς τόπους ἀναλαβεῖν καὶ ὁρίσαι ταχθέντες ὑπὸ
the sacred places to-recover and to-mark-out appointed by
τοῦ Καμίλλου, συγκεχυμένων ἁπάντων, ὡς ἦκον ἐπὶ τὴν
— Camillus being-confounded all-things when they-came to the
καλιάδα τοῦ Ἄρεως περιοδεύοντες τὸ Παλάτιον, αὐτὴν
hut — of-Mars going-round the Palatine it

μέν, ὡς τὰ ἄλλα, διεφθαρμένην καὶ κατακεκαυμένην εὗρον
indeed like the others destroyed and burned-down they-found
ὑπὸ τῶν βαρβάρων, σκευωρούμενοι δὲ καὶ καθαίροντες τὸ
by the barbarians clearing-away and also cleaning the
χωρίον ἐντυγχάνουσι τῷ μαντικῷ ξύλῳ τοῦ Ῥωμύλου κατὰ
site they-come-upon the augural staff — of-Romulus under
τέφρας πολλῆς καὶ βαθείας καταδεδυκότι. τοῦτο δ' ἔστι
ash much and deep sunk this and is
μὲν ἐπικαμπὲς ἐκ θατέρου πέρατος, καλεῖται δὲ λίτυον·
indeed curved at one end is-called and lituus
χρῶνται δ' αὐτῷ πρὸς τὰς τῶν πλινθίων ὑπογραφὰς
they-use and it for the of-the squares markings-out
ὅταν ἐπ' ὄρνισι διαμαντευόμενοι καθέζωνται, ὡς κἀκεῖνος
when for birds divining they-sit as he-too
ἐχρῆτο μαντικώτατος ὤν. ἐπειδὴ δ' ἐξ ἀνθρώπων
used-it most-skilled-in-divination being when and from men
ἠφανίσθη, παραλαβόντες οἱ ἱερεῖς τὸ ξύλον ὥσπερ ἄλλο
he-vanished having-taken-over the priests the staff like other
τι τῶν ἱερῶν ἄψαυστον ἐφύλαττον. τοῦτο δὴ τότε
any of-the sacred-objects untouched guarded this indeed then
τῶν ἄλλων ἀπολωλότων ἀνευρόντες διαπεφευγὸς τὴν
the others having-perished having-found having-escaped the
φθορὰν ἡδίους ἐγένοντο ταῖς ἐλπίσιν ὑπὲρ τῆς Ῥώμης,
destruction more-cheerful they-became in-the hopes for — Rome
ὡς ἀΐδιον αὐτῇ τὴν σωτηρίαν τοῦ σημείου βεβαιοῦντος.
as everlasting to-it the safety the sign confirming

Beset by Aequians, Volscians, Latins, and Tyrrhenians, Rome made Camillus dictator a third time. Two stories are told of the Latin war: in one the slave girl Tutula or Philotis led slave women dressed as brides to the Latins and raised a torch from a wild fig, and the Romans took their camp, the origin of the Nones Caprotinae; in the other, which most follow, Camillus fired the stockade on a wind. He retook Sutrium the day it fell, and his triumph made even the envious credit his ability. The envious Manlius Capitolinus courted the debtors toward tyranny; Camillus moved his trial out of the Capitol's sight, and Manlius was thrown from the rock, his house razed.

οὔπω δὲ τῆς περὶ ταῦτα πεπαυμένοις ἀσχολίας αὐτοῖς 33
not-yet and from-the about these-things having-ceased occupation them
ἐπιπίπτει πόλεμος, Αἰκανῶν μὲν ἅμα καὶ Οὐολούσκων
falls-upon a-war of-Aequians indeed at-once and of-Volscians
καὶ Λατίνων εἰς τὴν χώραν ἐμβαλλόντων, Τυρρηνῶν δὲ
and of-Latins into the country invading of-Tyrrhenians and
πολιορκούντων Σούτριν, συμμαχίδα Ῥωμαίων πόλιν. ἐπειδὴ
besieging Sutrium allied of-Romans city when
δ' οἱ τὴν ἡγεμονίαν ἔχοντες χιλίαρχοι στρατοπεδευσάμενοι
and the the command holding military-tribunes having-encamped
περὶ τὸ Μάρκιον ὄρος ὑπὸ τῶν Λατίνων ἐπολιορκοῦντο
about the Marcian mount by the Latins were-besieged
καὶ κινδυνεύοντες ἀποβαλεῖν τὸ στρατόπεδον εἰς Ῥώμην
and being-in-danger to-lose the camp to Rome
ἔπεμψαν ἀποδείκνυται τὸ τρίτον Κάμιλλος δικτάτωρ. περὶ
sent is-appointed the third-time Camillus dictator about
τούτου τοῦ πολέμου διττοὶ λόγοι λέγονται· δίειμι δὲ
this the war double accounts are-told I-shall-go-through and
τὸν μυθώδη πρότερον. φασὶ τοὺς Λατίνους, εἴτε προφάσει
the fabulous first they-say the Latins whether a-pretext

χρωμένους εἴτε βουλομένους ὡς ἀληθῶς ἀναμίξασθαι τὰ
using or wishing as truly to-mingle the
γένη πάλιν ἐξ ὑπαρχῆς, πέμψαντας αἰτεῖν παρὰ τῶν
races again from the-beginning having-sent to-ask from the
Ῥωμαίων παρθένους ἐλευθέρας γυναῖκας. ἀπορούντων δὲ
Romans maidens free-born as-wives being-at-a-loss and
τῶν Ῥωμαίων, τί χρὴ ποιεῖν (καὶ γὰρ τὸν πόλεμον
the Romans what one-must to-do both for the war
ὠρρώδουν οὔπω καθεστῶτες οὐδ' ἀνειληφότες αὑτούς,
they-dreaded not-yet settled nor having-recovered themselves
καὶ τὴν αἴτησιν τῶν γυναικῶν ὑπώπτευον ἐξομήρευσιν
and the request of-the women suspected a-taking-of-hostages
εἶναι, τοῦ δ' εὐπρεποῦς χάριν ἐπιγαμίαν καλεῖσθαι),
to-be of-the and seemliness for-the-sake intermarriage to-be-called
θεραπαινίδα τοὔνομα Τουτούλαν, ὡς δ' ἔνιοι λέγουσι,
a-handmaid by-name Tutula as and some say
Φιλωτίδα τοῖς ἄρχουσι παραινέσαι πέμπειν σὺν αὐτῇ
Philotis to-the magistrates to-have-advised to-send with her
τῶν δμωΐδων τὰς ἐν ὥρᾳ μάλιστα καὶ ταῖς ὄψεσιν
of-the slave-women those in bloom most and in-the looks
ἐλευθερίους, κοσμήσαντας ὡς νύμφας εὐγενεῖς, τὰ λοιπὰ
free-born having-adorned as brides well-born the rest
δ' αὐτῇ μελήσειν. πεισθέντας δὲ τοὺς ἄρχοντας
and to-her to-be-going-to-be-a-care having-been-persuaded and the magistrates
ἐπιλέξασθαι τῶν θεραπαινίδων ὅσας ἐκείνη πρὸς τὴν
to-have-chosen of-the handmaids as-many-as she for the
χρείαν ἐδοκίμασε, καὶ κοσμήσαντας ἐσθῆτι καὶ χρυσῷ
purpose approved and having-adorned in-clothing and gold
παραδοῦναι τοῖς Λατίνοις οὐ πάνυ πόρρω τῆς πόλεως
to-have-handed-over to-the Latins not very far from-the city
στρατοπεδεύουσι. νύκτωρ δὲ τὰς μὲν ἄλλας ὑφελέσθαι
encamping by-night and the indeed others to-have-stolen

τὰ ἐγχειρίδια τῶν πολεμίων, τὴν δ' εἴτε Τουτούλαν εἴτε
the daggers of-the enemies her but whether Tutula or
Φιλωτίδα προσβᾶσαν ἐρινεῷ μεγάλῳ καὶ παρατείνασαν
Philotis having-climbed a-wild-fig-tree great and having-stretched-out
ὀπίσω τὸ ἱμάτιον ἆραι πυρσὸν εἰς τὴν Ῥώμην,
behind the cloak to-have-raised a-torch toward — Rome
ὥσπερ ἦν συγκείμενον αὐτῇ πρὸς τοὺς ἄρχοντας, οὐδενὸς
as was agreed by-her with the magistrates no
ἄλλου τῶν πολιτῶν εἰδότος. δι' ὃ καὶ θορυβώδη
other of-the citizens knowing because-of which also tumultuous
γενέσθαι τὴν τῶν στρατιωτῶν ἔξοδον, ὡς κατήπειγον οἱ
to-have-been the of-the soldiers going-out as were-urging the
ἄρχοντες, ἀλλήλους ἀνακαλούντων καὶ μόλις εἰς τὴν τάξιν
magistrates one-another calling-out and barely into the order
καθισταμένων. ἐπελθόντας δὲ τῷ χάρακι τῶν πολεμίων οὐ
getting having-come-upon and the palisade of-the enemies not
προσδεχομένων καὶ καθευδόντων ἑλεῖν τὸ στρατόπεδον
expecting and sleeping to-have-taken the camp
καὶ διαφθεῖραι τοὺς πλείστους. τοῦτο δὲ γενέσθαι ταῖς
and to-have-destroyed the most this and to-have-happened on-the
νῦν Ἰουλίαις, τότε δὲ Κυϊντιλίαις νώναις, καὶ τὴν ἀγομένην
now July then and Quintilian Nones and the celebrated
ἑορτὴν ὑπόμνημα τῆς πράξεως ἐκείνης εἶναι. πρῶτον μὲν
festival a-memorial of-the deed that to-be first indeed
γὰρ ἐξιόντες ἀθρόοι διὰ τῆς πύλης πολλὰ τῶν ἐπιχωρίων
for going-out in-a-crowd through the gate many of-the native
καὶ κοινῶν ὀνομάτων βοῇ φθέγγονται, Γάϊον, Μάρκον,
and common names with-shouting they-utter Gaius Marcus
Λούκιον καὶ τὰ τούτοις ὅμοια, μιμούμενοι τὴν τότε
Lucius and the-ones to-these like imitating the then
γενομένην μετὰ σπουδῆς ἀλλήλων ἀνάκλησιν· ἔπειτα
made in haste of-one-another calling-out then

κεκοσμημέναι λαμπρῶς αἱ θεραπαινίδες περιΐασι παίζουσαι
adorned splendidly the handmaids go-about jesting
διὰ σκωμμάτων εἰς τοὺς ἀπαντῶντας. γίνεται δὲ καὶ
with gibes at the(-men) meeting-them there-is and also
μάχη τις αὐταῖς πρὸς ἀλλήλας, ὡς καὶ τότε τοῦ πρὸς
a-fight some for-them with one-another as also then of-the against
τοὺς Λατίνους ἀγῶνος συνεπιλαμβανομέναις. ἑστιώμεναι
the Latins struggle having-taken-part feasting
δὲ καθέζονται κλάδοις συκῆς σκιαζόμεναι· καὶ τὴν ἡμέραν
and they-sit by-branches of-fig shaded and the day
νώνας Καπρατίνας καλοῦσιν, ὡς οἴονται διὰ τὸν
Nones Caprotine they-call as they-think because-of the
ἐρινεόν, ἀφ' οὗ τὴν παιδίσκην τὸν πυρσὸν ἆραι· τὸν
wild-fig-tree from which the maidservant the torch to-have-raised the
γὰρ ἐρινεὸν καπρίφικον ὀνομάζουσιν. ἕτεροι δὲ τούτων τὰ
for wild-fig-tree caprificus they-name others and of-these the
πλεῖστα δρᾶσθαι καὶ λέγεσθαί φασιν ἐπὶ τῷ τοῦ Ῥωμύλου
most to-be-done and to-be-said say for the — of-Romulus
πάθει· κατὰ ταύτην γὰρ ἀφανισθῆναι τὴν ἡμέραν αὐτὸν
death on this for to-have-vanished the day him
ἔξω πύλης, ζόφου καὶ θυέλλης ἄφνω περισχούσης, ὡς
outside gate darkness and storm suddenly having-enveloped as
δ' ἔνιοι νομίζουσιν, ἐκλείψεως ἡλίου γενομένης, καὶ τὴν
and some think an-eclipse of-sun having-happened and the
ἡμέραν ἀπὸ τοῦ τόπου νώνας Καπρατίνας κληθῆναι, τὴν
day from the place Nones Caprotine to-have-been-called the
γὰρ αἶγα κάπραν ὀνομάζουσιν· ὁ δὲ Ῥωμύλος ἠφανίσθη
for she-goat capra they-name — and Romulus vanished
δημηγορῶν περὶ τὸ τῆς αἰγὸς ἕλος προσαγορευόμενον,
haranguing at the of-the goat marsh called
ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται.
as in the-things about him has-been-written

τὸν δ' ἕτερον λόγον οἱ πλεῖστοι τῶν συγγραφέων 34
the and other account the most of-the historians
δοκιμάζοντες οὕτω λέγουσιν. ἀποδειχθεὶς δικτάτωρ
approving so say having-been-appointed dictator
τὸ τρίτον ὁ Κάμιλλος καὶ πυθόμενος τὸ μετὰ τῶν
the third-time — Camillus and having-learned the with the
χιλιάρχων στράτευμα πολιορκούμενον ὑπὸ τῶν Λατίνων
military-tribunes army besieged by the Latins
καὶ τῶν Οὐολούσκων, ἠναγκάσθη καὶ τοὺς οὐκ ἐν
and the Volscians was-compelled also the(-men) not in
ὥρᾳ τῶν πολιτῶν, ἀλλ' ἤδη παρηβηκότας καθοπλίσαι.
age of-the citizens but already past-their-prime to-arm
περιελθὼν δὲ μακρὰν περίοδον περὶ τὸ Μάρκιον ὄρος
having-gone-round and a-long circuit about the Marcian mount
καὶ λαθὼν τοὺς πολεμίους ἵδρυσε τὴν στρατιὰν
and having-escaped-notice-of the enemies stationed the army
κατόπιν αὐτῶν, καὶ πυρὰ πολλὰ καύσας διεσήμηνε τὴν
behind them and fires many having-kindled signaled the
ἑαυτοῦ παρουσίαν. οἱ μὲν οὖν πολιορκούμενοι θαρρήσαντες
his-own presence the indeed then besieged having-taken-courage
ἐπιέναι διενοοῦντο καὶ μάχην συνάπτειν· οἱ δὲ Λατῖνοι
to-attack intended and battle to-join the and Latins
καὶ Οὐολοῦσκοι συστείλαντες εἴσω τοῦ χάρακος ἑαυτοὺς
and Volscians having-drawn-together within the palisade themselves
ἀπεσταύρουν ξύλοις πολλοῖς καὶ διεφράγνυντο πανταχόθεν
fenced-off with-timbers many and barricaded on-all-sides
τὸ στρατόπεδον, ἀμφίβολοι γεγονότες ὑπὸ τῶν πολεμίων
the camp caught-between having-become by the enemies
καὶ περιμένειν ἐγνωκότες ἑτέραν οἴκοθεν δύναμιν, ἅμα δὲ
and to-wait having-resolved for-another from-home force at-once and
καὶ Τυρρηνῶν προσδεχόμενοι βοήθειαν. τοῦτο δ' αἰσθόμενος
also of-Tyrrhenians expecting help this and having-perceived

ὁ Κάμιλλος καὶ δεδοικὼς παθεῖν ὅπερ ἐποίησεν
— *Camillus and having-feared to-suffer the-very-thing-which did*
αὐτὸς τοὺς πολεμίους κυκλωσάμενος ἔσπευδε προλαβεῖν
himself the enemies having-surrounded was-eager to-seize-first
τὸν καιρόν. ὄντος δὲ τοῦ περιφράγματος ξυλίνου καὶ
the opportunity being and the enclosure wooden and
πνεύματος μεγάλου κατιόντος ἀπὸ τῶν ὀρῶν ἅμα
a-wind great coming-down from the mountains together-with
φάει, πυροβόλα παρασκευασάμενος καὶ περὶ τὸν ὄρθρον
daylight fire-missiles having-prepared and about the dawn
ἐξαγαγὼν τὴν δύναμιν τοὺς μὲν ἄλλους ἐκέλευσε χρῆσθαι
having-led-out the force the indeed others he-ordered to-use
βέλεσι καὶ κραυγῇ καθ' ἕτερον μέρος, αὐτὸς δὲ τοὺς
missiles and shouting on other side himself and the(-men)
τὸ πῦρ ἀφήσειν μέλλοντας ἔχων ὅθεν εἰώθει μάλιστα
the fire to-throw being-about having from-where was-wont most
προσπίπτειν ὁ ἄνεμος τῷ χάρακι τῶν πολεμίων ἀνέμενε
to-fall-on the wind the palisade of-the enemies he-awaited
τὴν ὥραν. ἐπεὶ δὲ συνεστώσης τῆς μάχης ὅ τε ἥλιος ἀνῄει
the hour when and having-been-joined the battle the both sun rose
καὶ τὸ πνεῦμα λαμπρὸν ἐξέπιπτε, σημήνας ἐπιδρομὴν
and the wind strong burst-forth having-signaled a-charge
κατέσπειρε τοῦ χάρακος ἄφθονα τῶν πυροβόλων. ταχὺ
he-sowed-over the palisade abundant of-the fire-missiles quickly
δὲ τῆς φλογὸς ἐν ὕλῃ πυκνῇ καὶ σταυρώμασι ξυλίνοις
and the flame in timber dense and palisades wooden
ἀνατραφείσης καὶ κύκλῳ περινεμομένης, οὐδὲν ἄκος οὐδὲ
having-been-fed and in-a-circle spreading no remedy nor
σβεστήριον ἔχοντες οἱ Λατῖνοι παρεσκευασμένον, ὡς πλῆρες
extinguisher having the Latins prepared as full
ἦν ἤδη τὸ στρατόπεδον πυρός, ἐπ' ὀλίγον συστελλόμενοι
was already the camp of-fire into small being-drawn-together

τόπον ἐξέπιπτον ὑπ᾽ ἀνάγκης πρὸς ὡπλισμένους καὶ
space they-burst-out by necessity upon armed and
παρατεταγμένους πρὸ τοῦ χάρακος τοὺς πολεμίους. καὶ
drawn-up before the palisade the enemies and
τούτων μὲν ὀλίγοι διέφυγον, τοὺς δὲ καταλειφθέντας
of-these indeed few escaped the(-men) and left-behind
ἐν τῷ στρατοπέδῳ πάντας διέφθειρε τὸ πῦρ, μέχρι οὗ
in the camp all destroyed the fire until —
κατασβέσαντες οἱ Ῥωμαῖοι τὰ χρήματα διήρπασαν.
having-extinguished-it the Romans the goods plundered
γεγονότων δὲ τούτων ἀπολιπὼν ἐπὶ τοῦ στρατοπέδου 35
having-happened and these-things having-left in the camp
τὸν υἱὸν Λεύκιον φύλακα τῶν ἡλωκότων ἀνθρώπων καὶ
the son Lucius guard of-the captured men and
χρημάτων αὐτὸς εἰς τὴν τῶν πολεμίων ἐνέβαλε. καὶ
goods himself into the of-the enemies invaded and
τὴν Αἰκανῶν πόλιν ἐξελὼν καὶ προσαγαγόμενος τοὺς
the of-Aequians city having-taken and having-won-over the
Οὐολούσκους εὐθὺς ἦγε τὴν στρατιὰν πρὸς τὸ Σούτριον,
Volscians at-once led the army to — Sutrium
οὔπω τὰ συμβεβηκότα τοῖς Σουτρίνοις πεπυσμένος,
not-yet the-things having-happened to-the Sutrians having-learned
ἀλλ᾽ ὡς ἔτι κινδυνεύουσι καὶ πολιορκουμένοις ὑπὸ τῶν
but as still being-in-danger and being-besieged by the
Τυρρηνῶν βοηθῆσαι σπεύδων. οἱ δ᾽ ἔτυχον ἤδη τὴν μὲν
Tyrrhenians to-help hastening they and happened already the indeed
πόλιν τοῖς πολεμίοις παραδεδωκότες, αὐτοὶ δὲ πάντων
city to-the enemies having-surrendered themselves and of-everything
ἐνδεεῖς ἐν ἱματίοις μόνον ἀφειμένοι· καὶ καθ᾽ ὁδὸν ὄντι τῷ
in-want in cloaks only having-been-let-go and on road being —
Καμίλλῳ μετὰ παίδων καὶ γυναικῶν ἀπήντων ὀδυρόμενοι
Camillus with children and women met lamenting

τὰς ἑαυτῶν τύχας. ὁ δὲ Κάμιλλος αὐτός τε πρὸς τὴν ὄψιν
the their-own fortunes — and Camillus himself both at the sight
ἐπικλασθεὶς καὶ τοὺς Ῥωμαίους ὁρῶν ἐμφυομένων αὐτοῖς
having-been-moved and the Romans seeing clinging to-them
τῶν Σουτρίνων δακρύοντας καὶ δυσανασχετοῦντας ἐπὶ τοῖς
the Sutrians weeping and indignant at the
γεγενημένοις, ἔγνω μὴ ποιεῖσθαι τῆς τιμωρίας ἀναβολήν,
having-happened-things decided not to-make of-the vengeance delay
ἀλλ᾽ εὐθὺς ἄγειν ἐπὶ τὸ Σούτριον ἐκείνης τῆς ἡμέρας,
but at-once to-lead to — Sutrium that the day
λογιζόμενος ἀνθρώπους εὐδαίμονα καὶ πλουσίαν πόλιν ἄρτι
reasoning men a-prosperous and rich city just
κατειληφότας καὶ μηδένα τῶν πολεμίων ὑπολελοιπότας ἐν
having-taken and no-one of-the enemies having-left in
αὐτῇ μηδὲ προσδεχομένους ἔξωθεν, ἐκλελυμένους παντάπασι
it nor expecting from-outside relaxed utterly
καὶ ἀφυλάκτους εὑρήσειν· ὀρθῶς λογισάμενος. οὐ γὰρ
and unguarded to-be-going-to-find rightly having-reasoned not for
μόνον τὴν χώραν ἔλαθε διελθών, ἀλλὰ καὶ
only the country he-escaped-notice having-passed-through but also
πρὸς ταῖς πύλαις γενόμενος καὶ τὰ τείχη καταλαβών·
at the gates having-come and the walls having-seized
ἐφύλαττε γὰρ οὐδείς, ἀλλ᾽ ἐν οἴνῳ καὶ συνουσίαις ἦσαν
guarded for no-one but in wine and revels they-were
ἐσκεδασμένοι κατὰ τὰς οἰκίας. ἐπεὶ δὲ ᾔσθοντο τοὺς
scattered among the houses when and they-perceived the
πολεμίους κρατοῦντας ἤδη, οὕτω διέκειντο μοχθηρῶς
enemies mastering already so they-were-disposed wretchedly
ὑπὸ πλησμονῆς καὶ μέθης, ὡς μηδὲ πρὸς φυγὴν ὁρμῆσαι
from surfeit and drunkenness that not-even to flight to-rush

πολλούς, ἀλλ᾽ ἐν ταῖς οἰκίαις αἴσχιστα πάντων ὑπομένοντας
many but in the houses most-shamefully of-all enduring
ἀποθνῄσκειν ἢ παραδιδόναι σφᾶς αὐτοὺς τοῖς πολεμίοις.
to-die or to-hand-over themselves — to-the enemies
τὴν μὲν οὖν Σουτρίνων πόλιν ἡμέρᾳ μιᾷ δὶς ἁλοῦσαν 36
the indeed then of-Sutrians city in-day one twice taken
οὕτω συνέβη καὶ τοὺς ἔχοντας ἀποβαλεῖν, καὶ τοὺς
so it-happened both the(-men) holding to-lose and the(-men)
ἀφῃρημένους ἀπολαβεῖν διὰ Κάμιλλον. ὁ δ᾽ ἀπὸ τούτων
deprived to-recover through Camillus the and from these-things
θρίαμβος αὐτῷ χάριν οὐκ ἐλάττονα καὶ κόσμον ἤνεγκε
triumph to-him favor not less and glory brought
τῶν πρώτων δυεῖν. καὶ γὰρ τοὺς πάνυ βασκαίνοντας
than-the first two even for the(-men) very envious
τῶν πολιτῶν καὶ πάντα βουλομένους εὐτυχίᾳ τινὶ
of-the citizens and all-things wishing by-good-fortune some
μᾶλλον ἢ δι᾽ ἀρετὴν κατωρθῶσθαι, τότ᾽ ἠνάγκαζον
rather than through virtue to-have-been-accomplished then compelled
αἱ πράξεις τῇ δεινότητι καὶ τῷ δραστηρίῳ τοῦ ἀνδρὸς
the deeds to-the cleverness and to-the energy of-the man
ἀποδιδόναι τὴν δόξαν. ἦν δὲ τῶν διαμαχομένων αὐτῷ
to-give the glory was and of-the(-men) contending-with him
καὶ προσφθονούντων ἐπιφανέστατος Μάρκος Μάλλιος, ὁ
and envying most-conspicuous Marcus Manlius the
πρῶτος ὠσάμενος τοὺς Κελτοὺς ἀπὸ τῆς ἄκρας ὅτε τῷ
first having-thrust-off the Celts from the citadel when —
Καπιτωλίῳ νυκτὸς ἐπέθεντο καὶ διὰ τοῦτο Καπιτωλῖνος
Capitol by-night they-attacked and because-of this Capitolinus
ἐπικληθείς. οὗτος γὰρ ἀξιῶν πρῶτος εἶναι τῶν πολιτῶν
surnamed he for claiming first to-be of-the citizens
καὶ μὴ δυνάμενος τὸν Κάμιλλον ἀπὸ τοῦ βελτίστου τρόπου
and not being-able — Camillus by the best way

τῇ δόξῃ παρελθεῖν, ὑπόθεσιν τυραννίδος ἐποιήσατο κοινὴν
in-the glory to-surpass a-groundwork of-tyranny made common
καὶ συνήθη, δημαγωγῶν τοὺς πολλούς, μάλιστα δὲ τῶν
and usual courting the many most and of-the(-men)
ὀφειλόντων χρέα τοῖς μὲν ἀμύνων καὶ συνδικῶν ἐπὶ
owing debts the(-ones) indeed defending and pleading-with-them against
τοὺς δανειστάς, τοὺς δ' ἀφαιρούμενος βίᾳ καὶ κωλύων
the money-lenders others and rescuing by-force and preventing
ἄγεσθαι πρὸς τὸν νόμον, ὥστε πολλοὺς τῶν ἀπόρων
to-be-led-away according-to the law so-that many of-the poor
ταχὺ περὶ αὐτὸν γενέσθαι καὶ πολὺν φόβον παρασχεῖν τοῖς
quickly about him to-gather and much fear to-cause to-the
βελτίστοις τῶν πολιτῶν θρασυνομένους καὶ ταράττοντας
best of-the citizens growing-bold and disturbing
τὴν ἀγοράν. ἐπεὶ δὲ κατασταθεὶς ἐπὶ ταῦτα δικτάτωρ
the forum when and having-been-appointed for these-things dictator
Κούιντος Καπιτωλῖνος εἰς τὴν εἱρκτὴν ἐνέβαλε τὸν Μάλλιον,
Quintus Capitolinus into the prison threw — Manlius
ὁ δὲ δῆμος γενομένου τούτου μετέβαλε τὴν ἐσθῆτα, πρᾶγμα
the and people having-happened this changed the clothing a-thing
γινόμενον ἐπὶ συμφοραῖς μεγάλαις καὶ δημοσίαις, δείσασα
done at disasters great and public having-feared
τὸν θόρυβον ἡ σύγκλητος ἐκέλευσεν ἀφεθῆναι τὸν Μάλλιον.
the uproar the senate ordered to-be-released — Manlius
ὁ δ' οὐδὲν ἦν ἀφεθεὶς ἀμείνων, ἀλλὰ σοβαρώτερον
he but nothing was having-been-released better but more-arrogantly
ἐδημαγώγει καὶ διεστασίαζε τὴν πόλιν. αἱροῦνται δὴ
played-the-demagogue and stirred-to-faction the city they-choose indeed
πάλιν χιλίαρχον τὸν Κάμιλλον. εἰσαγομένων δὲ τῶν κατὰ
again military-tribune — Camillus being-brought and the against
τοῦ Μαλλίου δικῶν μεγάλα τοὺς κατηγόρους ἔβλαπτεν
— Manlius suits greatly the accusers harmed

ἡ ὄψις. ὁ γὰρ τόπος, ἐφ' οὗ βεβηκὼς ὁ Μάλλιος
the sight the for place on which having-stood — Manlius
ἐνυκτομάχησε πρὸς τοὺς Κελτούς, ὑπερεφαίνετο τῆς
fought-by-night against the Celts was-visible-above the
ἀγορᾶς ἀπὸ τοῦ Καπιτωλίου καὶ παρεῖχεν οἶκτον τοῖς
forum from — Capitol and caused pity to-the(-men)
ὁρῶσιν· αὐτός τε τὰς χεῖρας ὀρέγων ἐκεῖσε καὶ δακρύων
seeing himself both the hands stretching thither and weeping
ὑπεμίμνῃσκε τῶν ἀγώνων, ὥστε τοὺς κρίνοντας ἀπορεῖν
reminded-them of-the struggles so-that the judges to-be-at-a-loss
καὶ πολλάκις ἀναβάλλεσθαι τὴν δίκην, μήτ' ἀφεῖναι
and often to-postpone the trial neither to-acquit
βουλομένους ἐπὶ τεκμηρίοις φανεροῖς τὸ ἀδίκημα μήτε
wishing on proofs manifest the wrongdoing nor
χρήσασθαι τῷ νόμῳ δυναμένους ἐν ὀφθαλμοῖς τῆς πράξεως
to-apply the law being-able in eyes the deed
οὔσης διὰ τὸν τόπον. ὃ δὴ συμφρονήσας ὁ Κάμιλλος
being because-of the place which indeed having-perceived — Camillus
μετήγαγεν ἔξω πύλης τὸ δικαστήριον εἰς τὸ Πετηλῖνον
transferred outside gate the court to the Peteline
ἄλσος· ὅθεν οὐκ ὄντος τοῦ Καπιτωλίου καταφανοῦς ὅ
grove whence not being — Capitol visible the
τε διώκων ἐχρήσατο τῇ κατηγορίᾳ καὶ τοῖς κρίνουσι
both prosecutor used the accusation and to-the judges
παρεχώρησεν ἡ μνήμη τῶν γεγονότων ἀξίαν ἀναλαβεῖν
allowed the memory of-the past-events worthy to-take-up
ὀργὴν ἐπὶ τοῖς παροῦσιν ἀδικήμασιν. ὁ μὲν οὖν Μάλλιος
anger at the present wrongs — indeed then Manlius
ἁλοὺς εἰς τὸ Καπιτώλιον ἀπήχθη, καὶ κατὰ τῆς πέτρας
convicted to — Capitol was-led-away and down the rock
ὠσθεὶς τὸν αὐτὸν τόπον ἔσχε καὶ τῶν εὐτυχεστάτων
having-been-thrust the same place had both of-the most-fortunate

ἔργων καὶ τῶν μεγίστων ἀτυχημάτων μνημεῖον. οἱ δὲ
deeds and of-the greatest misfortunes a-monument the and
Ῥωμαῖοι τὴν οἰκίαν αὐτοῦ κατασκάψαντες ἱερὸν ἱδρύσαντο
Romans the house his having-razed a-temple founded
θεᾶς, ἣν Μονῆταν καλοῦσι, καὶ τὸ λοιπὸν ἐψηφίσαντο
of-a-goddess whom Moneta they-call and the future voted
μηδένα τῶν πατρικίων ἐπὶ τῆς ἄκρας κατοικεῖν.
no-one of-the patricians on the citadel to-dwell

37–40 · OLD AGE AND STOLO

Old and ill, Camillus was forced into a sixth military tribunate; his colleague Lucius Furius fought rashly and lost, and Camillus, leaping from his bed, rallied the rout, won next day, and retook Satricum. Taking Furius again against Tusculum, he found the Tusculans feigning peace at work and, pitying their repentance, won them pardon and citizenship. Dictator a fourth time in Stolo's sedition, he resigned rather than fight the people; Stolo, whose land law passed, was convicted under it. Dictator a fifth time against the Gauls at nearly eighty, he gave his men iron helmets, bronze-rimmed shields, and long pikes.

37 ὁ δὲ Κάμιλλος ἐπὶ χιλιαρχίαν ἕκτην καλούμενος
— and Camillus to military-tribuneship sixth being-called
παρῃτεῖτο, γεγονὼς μὲν ἡλικίας ἤδη πρόσω καί πού
begged-off being indeed of-age already far-on and perhaps
τινα καὶ φθόνον δεδιὼς καὶ νέμεσιν ἐπὶ δόξῃ τοσαύτῃ
some both envy fearing and retribution upon glory so-great
καὶ κατορθώμασιν· ἡ δὲ φανερωτάτη τῶν αἰτιῶν ἦν
and successes the but most-manifest of-the causes was
ἀρρωστία σώματος· ἐτύγχανε γὰρ νοσῶν περὶ τὰς ἡμέρας
infirmity of-body he-happened for being-ill about the days
ἐκείνας. οὐ μὴν παρῆκεν αὐτῷ τὴν ἀρχὴν ὁ δῆμος, ἀλλὰ
those not indeed let-off him the office the people but

βοῶν μήτε ἱππεύοντος αὐτοῦ μήτε ὁπλομαχοῦντος ἐν τοῖς
shouting neither riding him nor fighting-in-arms in the
ἀγῶσι δεῖσθαι, βουλευομένου δὲ μόνον καὶ προστάττοντος,
contests to-need deliberating but only and giving-orders
ἠνάγκασεν ὑποστῆναι τὴν στρατηγίαν καὶ μεθ' ἑνὸς τῶν
compelled to-undertake the command and with one of-the
συναρχόντων Λευκίου Φουρίου τὸν στρατὸν ἄγειν εὐθὺς ἐπὶ
colleagues Lucius Furius the army to-lead at-once against
τοὺς πολεμίους. οὗτοι δ' ἦσαν Πραινεστῖνοι καὶ Οὐολοῦσκοι
the enemies these and were Praenestines and Volscians
μετὰ πολλῆς δυνάμεως τὴν συμμαχίδα τῶν Ῥωμαίων
with large force the allied-land of-the Romans
πορθοῦντες. ἐξελθὼν δὲ καὶ παραστρατοπεδεύσας τοῖς
ravaging having-gone-out and and having-encamped-beside the
πολεμίοις αὐτὸς μὲν ἠξίου τρίβειν τὸν πόλεμον
enemies himself indeed thought-fit to-wear-out the war
χρόνῳ, κἂν εἰ μάχης δεήσειε ῥώσας τὸ σῶμα
by-time even if of-battle there-should-be-need having-strengthened the body
διαγωνίσασθαι, Λευκίου δὲ τοῦ συνάρχοντος ἐπιθυμίᾳ
to-fight-it-out Lucius but the colleague by-desire
δόξης φερομένου πρὸς τὸν κίνδυνον ἀκατασχέτως καὶ
of-glory being-carried toward the danger uncontrollably and
συνεξορμῶντος ἅμα ταξιάρχους καὶ λοχαγούς, φοβηθεὶς
urging-on at-once company-commanders and captains having-feared
μὴ φθόνῳ δή τινι δοκῇ κατόρθωμα καὶ φιλοτιμίαν
lest from-envy indeed some he-might-seem success and ambition
ἀφαιρεῖσθαι νέων ἀνδρῶν συνεχώρησεν ἄκων ἐκείνῳ
to-take-away of-young men conceded unwilling to-him
παρατάξαι τὴν δύναμιν, αὐτὸς δὲ διὰ τὴν ἀσθένειαν
to-draw-up the force himself and because-of the weakness
ὑπελείφθη μετ' ὀλίγων ἐν τῷ στρατοπέδῳ. τοῦ δὲ
was-left-behind with few in the camp — and

Λευκίου προπετῶς χρησαμένου τῇ μάχῃ καὶ σφαλέντος,
Lucius rashly having-engaged in-the battle and having-been-worsted
αἰσθόμενος τὴν τροπὴν τῶν Ῥωμαίων οὐ κατέσχεν αὑτόν,
having-perceived the rout of-the Romans not restrained himself
ἀλλ' ἀναθορὼν ἐκ τῆς στιβάδος ἀπήντα μετὰ τῶν
but having-leaped-up from the pallet met with the
ὀπαδῶν ἐπὶ τὰς πύλας τοῦ χάρακος, διὰ τῶν φευγόντων
attendants at the gates of-the palisade through the fleeing
ὠθούμενος εἰς τοὺς διώκοντας, ὥστε τοὺς μὲν εὐθὺς
pushing toward the pursuers so-that the(-ones) indeed at-once
ἀναστρέφειν καὶ συνακολουθεῖν, τοὺς δὲ προσφερομένους
to-turn-back and to-follow the(-others) and rushing-in
ἔξωθεν ἵστασθαι πρὸ αὐτοῦ καὶ συνασπίζειν, παρεγγυῶντας
from-outside to-stand before him and to-lock-shields urging
ἀλλήλοις μὴ ἀπολείπεσθαι τοῦ στρατηγοῦ. τότε μὲν οὖν
one-another not to-be-left-behind-by the general then indeed then
οὕτως ἀπετράποντο τῆς διώξεως οἱ πολέμιοι· τῇ δ'
so turned-back from-the pursuit the enemies on-the and
ὑστεραίᾳ προαγαγὼν τὴν δύναμιν ὁ Κάμιλλος καὶ συνάψας
next-day having-led-out the force — Camillus and having-joined
μάχην αὐτούς τε νικᾷ κατὰ κράτος καὶ τὸν χάρακα
battle them both conquers by force and the palisade
λαμβάνει συνεισπεσὼν τοῖς φεύγουσι καὶ διαφθείρας τοὺς
takes having-burst-in-with the fleeing and having-destroyed the
πλείστους. ἐκ δὲ τούτου πυθόμενος πόλιν Σατρίαν ὑπὸ
most from and this having-learned the-city Satricum by
Τυρρηνῶν ἑαλωκέναι καὶ τοὺς οἰκήτορας ἀπεσφάχθαι
Tyrrhenians to-have-been-taken and the inhabitants to-have-been-slaughtered
Ῥωμαίους ἅπαντας ὄντας, τὴν μὲν πολλὴν καὶ βαρεῖαν
Romans all being the indeed large and heavy
τῆς δυνάμεως εἰς Ῥώμην ἀπέστειλεν, αὐτὸς δὲ τοὺς
of-the force to Rome he-sent himself and the(-men)

ἀκμάζοντας μάλιστα καὶ προθυμοτάτους ἀναλαβὼν ἐπέβαλε
in-their-prime most and most-eager having-taken attacked
τοῖς τὴν πόλιν ἔχουσι Τυρρηνοῖς καὶ κρατήσας τοὺς
the the city holding Tyrrhenians and having-mastered-them the(-ones)
μὲν ἐξήλασεν αὐτῶν, τοὺς δὲ ἀπέκτεινεν.
indeed drove-out of-them the(-others) and killed
ἐπανελθὼν δὲ μετὰ πολλῶν λαφύρων εἰς Ῥώμην ἐπέδειξε 38
having-returned and with much spoil to Rome he-showed
φρονιμωτάτους ἁπάντων τοὺς μὴ φοβηθέντας ἀσθένειαν
wisest of-all the(-men) not having-feared weakness
καὶ γῆρας ἡγεμόνος ἐμπειρίαν καὶ τόλμαν ἔχοντος, ἀλλ'
and old-age of-a-leader experience and daring having but
ἑλομένους ἐκεῖνον ἄκοντα καὶ νοσοῦντα μᾶλλον ἢ τῶν
having-chosen him unwilling and ill rather than of-the(-men)
ἐν ἡλικίᾳ τοὺς δεομένους καὶ σπουδάζοντας ἄρχειν. διὸ
in age the(-men) asking and eager to-command wherefore
καὶ Τουσκλανῶν ἀφεστάναι λεγομένων ἐκέλευον ἐξιέναι
also Tusculans to-have-revolted being-said they-ordered to-go-out
τὸν Κάμιλλον ἐπ' αὐτοὺς ἕνα τῶν πέντε συστρατήγων
— Camillus against them one of-the five fellow-generals
προσελόμενον. ὁ δέ, καίπερ ἁπάντων βουλομένων καὶ
having-chosen he and although all wishing and
δεομένων, ἐάσας τοὺς ἄλλους, προσείλετο Λεύκιον
asking having-passed-over the others chose Lucius
Φούριον οὐδενὸς ἂν προσδοκήσαντος. ἐκεῖνος γὰρ ἦν ὁ
Furius no-one — would-have-expected he for was the(-one)
παρὰ γνώμην τοῦ Καμίλλου διαγωνίσασθαι προθυμηθεὶς
against judgment — of-Camillus to-fight-it-out having-been-eager
ἔναγχος καὶ δυστυχήσας περὶ τὴν μάχην· ἀλλὰ
lately and having-been-unfortunate in the battle but
βουλόμενος, ὡς ἔοικεν, ἀποκρύψαι τὴν συμφορὰν καὶ τὴν
wishing as it-seems to-hide the disaster and the

αἰσχύνην ἀπαλλάξαι τοῦ ἀνδρὸς ἀντὶ πάντων τοῦτον
disgrace to-remove from-the man instead-of all him
προῆγεν. οἱ δὲ Τουσκλανοὶ τὴν ἁμαρτίαν ἐπανορθούμενοι
he-advanced the and Tusculans the error correcting
πανούργως, ἤδη βαδίζοντος ἐπ' αὐτοὺς τοῦ Καμίλλου
craftily already marching against them — Camillus
τὸ μὲν πεδίον ἀνθρώπων ὡς ἐν εἰρήνῃ γεωργούντων καὶ
the indeed plain with-men as in peace farming and
νεμόντων ἐνέπλησαν, τὰς δὲ πύλας εἶχον ἀνεῳγμένας καὶ
grazing filled the and gates had opened and
τοὺς παῖδας ἐν τοῖς διδασκαλείοις μανθάνοντας, τοῦ δὲ
the children in the schools learning of-the and
δήμου τὸ μὲν βάναυσον ἐπὶ τῶν ἐργαστηρίων ἑωρᾶτο
people the indeed artisan at the workshops was-seen
περὶ τὰς τέχνας, τὸ δ' ἀστεῖον ἐπὶ τῆς ἀγορᾶς ἐν
about the crafts the and gentry in the forum in
ἱματίοις· οἱ δ' ἄρχοντες περιῄεσαν σπουδῇ καταλύσεις τοῖς
cloaks the and magistrates went-about zealously quarters to-the
Ῥωμαίοις ἐπαγγέλλοντες, ὡς οὐδὲν κακὸν προσδοκῶντες
Romans offering as nothing evil expecting
οὐδὲ συνειδότες. τούτων δὲ πραττομένων ἀπιστεῖν μὲν οὐκ
nor being-conscious-of these and being-done to-disbelieve indeed not
ἐπῄει τῷ Καμίλλῳ τὴν προδοσίαν, οἰκτείρας δὲ τὴν ἐπὶ τῇ
occurred — to-Camillus the treachery having-pitied but the at the
προδοσίᾳ μετάνοιαν αὐτῶν ἐκέλευσε πρὸς τὴν σύγκλητον
treachery repentance their he-ordered to the senate
ἐλθόντας παραιτεῖσθαι τὴν ὀργήν· καὶ παραιτουμένοις
having-gone to-deprecate the anger and to-them-deprecating
συνέπραξεν αὐτὸς ἀφεθῆναί τε τὴν πόλιν αἰτίας ἁπάσης
helped himself to-be-released both the city from-charge all

καὶ μεταλαβεῖν ἰσοπολιτείας. αὗται μὲν οὖν ἐγένοντο τῆς
and to-share equal-citizenship these indeed then were of-the
ἕκτης χιλιαρχίας ἐπιφανέσταται πράξεις.
sixth military-tribuneship most-famous deeds
μετὰ δὲ ταῦτα Λικιννίου Στόλωνος ἐν τῇ πόλει τὴν 39
after and these-things Licinius Stolo in the city the
μεγάλην στάσιν ἐγείροντος, ἣν ὁ δῆμος ἐστασίαζε πρὸς
great sedition raising in-which the people was-at-odds with
τὴν σύγκλητον βιαζόμενος δυεῖν ὑπάτων καθισταμένων τὸν
the senate forcing two consuls being-appointed the
ἕτερον πάντως ἐκ δημοτῶν εἶναι καὶ μὴ συναμφοτέρους
one by-all-means from plebeians to-be and not both
πατρικίους, δήμαρχοι μὲν ᾑρέθησαν, τὰς δ' ὑπατικὰς
patricians tribunes indeed were-chosen the but consular
ἀρχαιρεσίας ἐπιτελεσθῆναι διεκώλυσαν οἱ πολλοί. καὶ τῶν
elections to-be-completed prevented the many and the
πραγμάτων δι' ἀναρχίας φερομένων ἐς μείζονας ταραχὰς
affairs through anarchy being-carried into greater disturbances
ἀποδείκνυται δικτάτωρ ὁ Κάμιλλος ὑπὸ τῆς βουλῆς
is-appointed dictator — Camillus by the senate
ἄκοντι τῷ δήμῳ τὸ τέταρτον, οὐδ' αὐτὸς ὢν πρόθυμος
unwilling the people the fourth-time not-even himself being eager
οὐδὲ βουλόμενος ἐναντιοῦσθαι πρὸς ἀνθρώπους παρρησίαν
nor wishing to-oppose against men frankness
ἔχοντας ἀπὸ πολλῶν καὶ μεγάλων ἀγώνων πρὸς αὐτόν,
having from many and great struggles with him
ὡς πλείονα μετ' αὐτῶν διαπεπραγμένος ἐν στρατηγίαις ἢ
since more with them having-accomplished in commands than
μετὰ τῶν πατρικίων ἐν πολιτείαις, καὶ νῦν διὰ φθόνον
with the patricians in politics and now through envy
ἐκείνων ᾑρημένος ὑπ' αὐτῶν, ὅπως ἢ καταλύσειε
of-those having-been-chosen by them so-that either he-might-crush

τὸν δῆμον ἰσχύσας ἢ καταλυθείη μὴ κρατήσας. οὐ
the people having-prevailed or be-crushed not having-prevailed not
μὴν ἀλλὰ πειρώμενος ἀμύνειν τοῖς παροῦσι, τὴν ἡμέραν
indeed but trying to-ward-off the present the day
γνούς, ἐν ᾗ νομοθετεῖν οἱ δήμαρχοι διενοοῦντο,
having-learned on which to-legislate the tribunes intended
προέγραψε στρατιᾶς κατάλογον καὶ μετεκάλει τὸν δῆμον
he-posted of-an-army a-levy and summoned the people
ἐκ τῆς ἀγορᾶς εἰς τὸ πεδίον μεγάλας ζημίας ἀπειλῶν
from the forum to the plain great fines threatening
κατὰ τοῦ μὴ ὑπακούσαντος. τῶν δὲ δημάρχων ἐκεῖθεν
against the(-one) not obeying of-the and tribunes from-there
αὖ πάλιν ἀντανισταμένων ταῖς ἀπειλαῖς καὶ διομνυμένων
in-turn again resisting the threats and swearing
πέντε μυριάσιν ἀργυρίου ζημιώσειν, εἰ μὴ παύσαιτο
with-five ten-thousands of-silver to-be-going-to-fine-him if not he-ceased
τοῦ δήμου τὸν νόμον ἀφαιρούμενος καὶ τὴν ψῆφον, εἴτε
of-the people the law taking-away and the vote whether
δείσας φυγὴν ἑτέραν καὶ καταδίκην, ὡς ἀνδρὶ πρεσβύτῃ
having-feared exile another and condemnation as for-a-man old
καὶ κατειργασμένῳ μεγάλα μὴ πρέπουσαν, εἴτε τοῦ δήμου
and having-accomplished great-things not fitting or the of-the
τὴν βίαν ἄμαχον οὖσαν καὶ δυσνίκητον ὑπερβαλέσθαι μὴ
people force irresistible being and hard-to-conquer to-overcome not
δυνάμενος μηδὲ βουλόμενος, τότε μὲν ὑπεχώρησεν οἴκαδε·
being-able nor wishing then indeed withdrew home
ταῖς δ' ἑξῆς ἡμέραις σκηψάμενος ἀρρωστεῖν ἐξωμόσατο
on-the and following days having-pleaded to-be-ill renounced-on-oath
τὴν ἀρχήν. ἡ δὲ σύγκλητος ἕτερον δικτάτορα κατέστησε·
the office the and senate another dictator appointed
κἀκεῖνος ἀποδείξας ἵππαρχον αὐτὸν τὸν ἡγεμόνα τῆς
and-he having-appointed master-of-horse himself the leader of-the

στάσεως Στόλωνα παρῆκεν ἐπικυρῶσαι τὸν νόμον τὸν
sedition Stolo allowed to-ratify the law the
μάλιστα λυποῦντα τοὺς πατρικίους. ἐκέλευσε δ᾽ οὗτος μηδένα
most vexing the patricians it-ordered and this no-one
πλέθρων πεντακοσίων πλείονα χώραν κεκτῆσθαι. τότε μὲν
of-plethra five-hundred more land to-possess then indeed
οὖν λαμπρὸς ὁ Στόλων ἐγεγόνει τῇ ψήφῳ κρατήσας·
then brilliant — Stolo had-become in-the vote having-prevailed
ὀλίγῳ δ᾽ ὕστερον αὐτὸς ἑάλω κεκτημένος ὅσην ἔχειν
a-little but later himself was-convicted possessing as-much-as to-have
ἐκώλυεν ἑτέρους, καὶ κατὰ τὸν αὑτοῦ νόμον δίκην ἔδωκεν.
he-prevented others and by the his-own law penalty paid
ὑπολειπομένης δὲ τῆς περὶ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν 40
remaining and the about the consular elections
φιλονεικίας, ὃ δὴ χαλεπώτατον τῆς στάσεως ἦν καὶ
contention which indeed hardest of-the sedition was and
πρῶτον ἤρξε καὶ πλεῖστα πράγματα τῇ βουλῇ παρέσχε
first began and most troubles to-the senate caused
διαφερομένῃ πρὸς τὸν δῆμον, ἀγγελίαι προσέπεσον σαφεῖς,
being-at-variance with the people reports fell clear
Κελτοὺς αὖθις ἀπὸ τῆς Ἀδριατικῆς ἄραντας θαλάσσης
Celts again from the Adriatic having-set-out sea
μυριάσι πολλαῖς ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. ἅμα
with-tens-of-thousands many against — Rome to-be-marching together-with
δὲ τῷ λόγῳ καὶ τὰ ἔργα τοῦ πολέμου παρῆν πορθουμένης
and the report also the deeds of-the war were-present being-ravaged
τῆς χώρας καὶ τῶν ἀνθρώπων, ὅσοις μὴ ῥᾴδιον ἦν εἰς τὴν
the country and the men as-many-as not easy was to —
Ῥώμην καταφυγεῖν, ἀνὰ τὰ ὄρη σκεδαννυμένων. οὗτος ὁ
Rome to-flee over the mountains scattering this the
φόβος κατέπαυσε τὴν στάσιν, καὶ συνελθόντες εἰς ταὐτὸ
fear stopped the sedition and having-come-together into the-same

τοῖς πολλοῖς οἱ κράτιστοι καὶ τῇ βουλῇ τὸ δημοτικὸν
with-the many the most-powerful and with-the senate the popular-party
εἵλοντο πάντες ἐκ μιᾶς γνώμης δικτάτορα τὸ πέμπτον
chose all from one opinion dictator the fifth-time
Κάμιλλον. ὁ δ' ἦν μὲν σφόδρα γέρων καὶ μικρὸν ἀπέλειπεν
Camillus he and was indeed very old and little fell-short
ὀγδοήκοντα ἔτη γεγονέναι· συνορῶν δὲ τὴν ἀνάγκην
eighty years to-be seeing but the necessity
καὶ τὸν κίνδυνον, οὔτε ὑποτίμησιν εἰπών, ὡς πρότερον,
and the danger neither an-excuse having-said as before
οὔτε προφάσει χρησάμενος, ἀλλ' αὐτόθεν ὑποστὰς τὴν
nor pretext having-used but at-once having-undertaken the
στρατηγίαν κατέλεγε τοὺς μαχησομένους. εἰδὼς δὲ τῆς τῶν
command enrolled the(-men) going-to-fight knowing and of-the of-the
βαρβάρων ἀλκῆς τὴν βιαιοτάτην ἐν ταῖς μαχαίραις οὖσαν,
barbarians strength the most-violent in the swords being
ἃς βαρβαρικῶς καὶ σὺν οὐδεμιᾷ τέχνῃ καταφέροντες ὤμους
which barbarously and with no skill bringing-down shoulders
μάλιστα καὶ κεφαλὰς διέκοπτον, ἐχαλκεύσατο μὲν κράνη
most and heads they-cut-through forged indeed helmets
τοῖς πλείστοις ὁλοσίδηρα καὶ λεῖα ταῖς περιφερείαις, ὡς
for-the most all-iron and smooth in-the surfaces so-that
ἀπολισθαίνειν ἢ κατάγνυσθαι τὰς μαχαίρας, τοῖς δὲ θυρεοῖς
to-slip-off or to-be-broken the swords to-the and shields
κύκλῳ περιήρμοσε λεπίδα χαλκῆν, τοῦ ξύλου καθ' αὑτὸ τὰς
round fitted a-rim bronze the wood by itself the
πληγὰς μὴ στέγοντος· αὐτοὺς δὲ τοὺς στρατιώτας ἐδίδαξε
blows not resisting them and the soldiers be-taught
τοῖς ὑσσοῖς μακροῖς διὰ χειρὸς χρῆσθαι καὶ τοῖς ξίφεσι
the pikes long through hand to-use and the swords
τῶν πολεμίων ὑποβάλλοντας ἐκδέχεσθαι τὰς καταφοράς.
of-the enemies thrusting-under to-receive the downstrokes

On the Anio Camillus waited until the Gauls were scattered and drunk, then sent his light troops ahead by night and brought his hoplites down at dawn; the Gallic swords bent on the pikes and the Romans won, thirteen years after the city's capture, and lost their fear of the Gauls. His last civil contest was over the plebeian consulship: when a tribune's officer laid hands on him, he vowed a temple of Concord, the senate yielded, and the first plebeian consul was chosen. The next year the plague killed him, mourned by Rome more than all its other dead.

ἐπεὶ δὲ πλησίον ἦσαν οἱ Κελτοί, περὶ τὸν Ἀνίωνα 41
when and near were the Celts about the Anio
ποταμὸν στρατόπεδον βαρὺ καὶ μεστὸν ἀφθόνου λείας
river a-camp heavy and full of-abundant booty
ἔχοντες, ἐξαγαγὼν τὴν δύναμιν ἵδρυσε κατὰ νάπης
having having-led-out the force he-stationed on a-glen
μαλακῆς καὶ συγκλίσεις πολλὰς ἐχούσης, ὥστε τὸ μὲν
gently-sloping and folds many having so-that the indeed
πλεῖστον ἀποκρύπτεσθαι, τὸ δ' ὁρώμενον δοκεῖν ὑπὸ δέους
most to-be-hidden the and seen-part to-seem from fear
εἰς χωρία προσάντη κατειλεῖσθαι. ταύτην δὲ τὴν δόξαν
into places steep to-be-penned this and the opinion
αὐτῶν ὁ Κάμιλλος αὔξειν βουλόμενος οὐ προσήμυνε
their — Camillus to-increase wishing not defended
τῶν ὑπὸ πόδας πορθουμένων, ἀλλὰ τὸν χάρακα
of-the-things under feet being-ravaged but the palisade
φραξάμενος ἠρέμει, μέχρι οὗ τοὺς μὲν ἐν προνομαῖς
having-fenced kept-still until — the(-ones) indeed on foraging
ἐσκεδασμένους κατεῖδε, τοὺς δ' ἐν τῷ στρατοπέδῳ
scattered he-saw the-others and in the camp
πᾶσαν ὥραν ἐμπιπλαμένους ἀφειδῶς καὶ μεθύοντας. τότε
every hour gorging-themselves unsparingly and drunk then

δὲ νυκτὸς ἔτι τοὺς ψιλοὺς προεκπέμψας ἐμποδὼν εἶναι
and by-night still the light-armed having-sent-ahead in-the-way to-be
τοῖς βαρβάροις εἰς τάξιν καθισταμένοις καὶ διαταράττειν
to-the barbarians into order getting and to-throw-into-confusion
εὐθὺς ἐπεξιόντας, κατεβίβαζεν ὄρθρου τοὺς ὁπλίτας καὶ
at-once coming-out he-brought-down at-dawn the hoplites and
παρέταττεν ἐν τοῖς ἐπιπέδοις, πολλοὺς καὶ προθύμους, οὐχ
drew-up in the level-ground many and eager not
ὥσπερ οἱ βάρβαροι προσεδόκων, ὀλίγους καὶ ἀτόλμους
as the barbarians expected few and cowardly
φανέντας. πρῶτον μὲν οὖν τοῦτο τῶν Κελτῶν ἀνέτρεψε
having-appeared first indeed then this of-the Celts upset
τὰ φρονήματα παρ᾽ ἀξίαν ἐπιχειρεῖσθαι δοκούντων. ἔπειτα
the spirits beyond desert to-be-attacked thinking then
προσπίπτοντες οἱ ψιλοὶ καὶ πρὶν ἢ τὸν συνήθη λαβεῖν
falling-on the light-armed even before than the usual to-take
κόσμον καὶ διακριθῆναι κατὰ λόχους κινοῦντες αὐτοὺς
order and to-be-divided by companies stirring them
καὶ βιαζόμενοι πρὸς τὸ συντυχὸν ἀτάκτους ἠνάγκασαν
and forcing in the chance-way disordered compelled
μάχεσθαι. τέλος δὲ τοῦ Καμίλλου τοὺς ὁπλίτας ἐπάγοντος,
to-fight finally and — Camillus the hoplites leading-on
οἱ μὲν ἀνατεινάμενοι τὰς μαχαίρας συνδραμεῖν
the(-ones) indeed having-raised the swords to-run-together
ἔσπευδον, οἱ δὲ τοῖς ὑσσοῖς ἀπαντῶντες καὶ τὰ
hastened the(-others) and with-the pikes meeting-them and the
σεσιδηρωμένα μέρη ταῖς πληγαῖς ὑποφέροντες ἀνέστρεφον
iron-shod parts to-the blows holding-under turned-back
τὸν ἐκείνων σίδηρον μαλακὸν ὄντα καὶ λεπτῶς ἐληλαμένον,
the their iron soft being and thinly beaten
ὥστε κάμπτεσθαι ταχὺ καὶ διπλοῦσθαι τὰς μαχαίρας, τοὺς
so-that to-bend quickly and to-double the swords the

δὲ θυρεοὺς συμπεπάρθαι καὶ βαρύνεσθαι τῶν ὑσσῶν
and shields to-be-pierced-through and to-be-weighed-down the pikes
ἐφελκομένων. διὸ καὶ μεθιστάμενοι τῶν ἰδίων ὅπλων
dragging wherefore also abandoning the own arms
ἐπειρῶντο τοῖς ἐκείνων συστρέφεσθαι καὶ τοὺς ὑσσοὺς
they-tried with-the theirs to-grapple and the pikes
παραφέρειν ἐπιλαμβανόμενοι ταῖς χερσίν. οἱ δὲ Ῥωμαῖοι
to-turn-aside seizing with-the hands the and Romans
γυμνουμένους ὁρῶντες ἤδη τοῖς ξίφεσιν ἐχρῶντο, καὶ
being-stripped seeing-them already the swords used and
φόνος μὲν ἦν πολὺς τῶν προτάκτων, φυγὴ δὲ τῶν
slaughter indeed was great of-the front-ranks flight and of-the
ἄλλων πανταχόσε τοῦ πεδίου. τοὺς γὰρ λόφους καὶ
others everywhere of-the plain the for hills and
τὰ ὑψηλὰ προκατειλήφει Κάμιλλος, τὸ δὲ στρατόπεδον
the heights had-pre-occupied Camillus the and camp
διὰ τὸ θαρσεῖν ἄφρακτον ἔχοντες ἤδεσαν οὐ χαλεπῶς
because-of the to-be-confident unfenced having they-knew not with-difficulty
ἁλωσόμενον. ταύτην τὴν μάχην ἔτεσιν ὕστερον τρισκαίδεκα
going-to-be-taken this the battle in-years later thirteen
γενέσθαι λέγουσι τῆς Ῥώμης ἁλώσεως, καὶ βέβαιον
to-have-happened they-say than-the of-Rome capture and firm
ἐξ αὐτῆς φρόνημα κατὰ τῶν Κελτῶν ἐγγενέσθαι Ῥωμαίοις
from it spirit against the Celts to-have-arisen in-Romans
σφόδρα δεδοικόσι τοὺς βαρβάρους, ὡς τὸ πρῶτον διὰ
greatly having-feared the barbarians as the first-time through
νόσους καὶ τύχας παραλόγους, οὐ κατὰ κράτος, ὑπ᾽
diseases and chances unexpected not by force by
αὐτῶν νενικημένους. οὕτω δ᾽ οὖν ὁ φόβος ἦν ἰσχυρός,
them having-been-conquered so but then the fear was strong

ὥστε θέσθαι νόμον ἀφεῖσθαι τοὺς ἱερεῖς στρατείας
that to-have-made a-law to-be-exempt the priests from-military-service
χωρὶς ἂν μὴ Γαλατικὸς ᾖ πόλεμος.
except if — Gallic there-be war
42 τῶν μὲν οὖν στρατιωτικῶν ἀγώνων οὗτος ἠγωνίσθη τῷ
of-the indeed then military struggles this was-fought —
Καμίλλῳ τελευταῖος. τὴν γὰρ Οὐελιτρανῶν πόλιν εἷλεν ἐν
by-Camillus last the for of-Velitrani city he-took in
παρέργῳ ταύτης τῆς στρατείας ἀμαχεὶ προσχωρήσασαν
a-side-task of-this the campaign without-fighting having-gone-over
αὐτῷ. τῶν δὲ πολιτικῶν ὁ μέγιστος ὑπελείπετο καὶ
to-him of-the and political the greatest remained and
χαλεπώτερος πρὸς τὸν δῆμον ἰσχυρὸν ἐπανήκοντα τῇ
harder with the people strong returning with-the
νίκῃ καὶ βιαζόμενον ἐκ δημοτῶν ὕπατον ἀποδεῖξαι παρὰ
victory and forcing from plebeians a-consul to-appoint against
τὸν καθεστῶτα νόμον, ἀντιταττομένης τῆς βουλῆς καὶ
the established law opposing the senate and
τὸν Κάμιλλον οὐκ ἐώσης ἀποθέσθαι τὴν ἀρχήν, ὡς μετ'
— Camillus not allowing to-lay-down the office as with
ἰσχυρᾶς καὶ μεγάλης ἐξουσίας τῆς ἐκείνου μαχησομένων ἂν
strong and great authority the his going-to-fight —
βέλτιον ὑπὲρ τῆς ἀριστοκρατίας. ἐπεὶ δὲ προκαθημένου
better on-behalf-of the aristocracy when and presiding
τοῦ Καμίλλου καὶ χρηματίζοντος ἐπὶ τῆς ἀγορᾶς ὑπηρέτης
— Camillus and transacting-business in the forum an-attendant
πεμφθεὶς παρὰ τῶν δημάρχων ἐκέλευσεν ἀκολουθεῖν καὶ
sent from the tribunes ordered-him to-follow and
τὴν χεῖρα τῷ σώματι προσῆγεν ὡς ἀπάξων, κραυγὴ
the hand to-the body put as going-to-arrest-him a-shout
δὲ καὶ θόρυβος, οἷος οὔπω, κατέσχε τὴν ἀγοράν, τῶν
and and uproar such-as never held the forum the(-ones)

μὲν περὶ τὸν Κάμιλλον ὠθούντων ἀπὸ τοῦ βήματος τὸν
indeed around — Camillus pushing from the platform the
δημόσιον, τῶν δὲ πολλῶν κάτωθεν ἕλκειν ἐπικελευομένων,
public-officer the but many from-below to-drag urging
ἀπορούμενος τοῖς παροῦσι τὴν μὲν ἀρχὴν οὐ
being-at-a-loss at-the present-circumstances the indeed office not
προήκατο, τοὺς δὲ βουλευτὰς ἀναλαβὼν ἐβάδιζεν ἐπὶ
gave-up the and senators having-taken he-walked to
τὴν σύγκλητον. καὶ πρὶν εἰσελθεῖν μεταστραφεὶς εἰς
the senate-house and before to-enter having-turned-round toward
τὸ Καπιτώλιον εὔξατο τοῖς θεοῖς κατευθῦναι τὰ παρόντα
— Capitol prayed to-the gods to-direct the present-things
πρὸς τὸ κάλλιστον τέλος, ὑποσχόμενος ναὸν Ὁμονοίας
to the finest end having-promised a-temple of-Concord
ἱδρύσασθαι τῆς ταραχῆς καταστάσης. μεγάλου δ' ἀγῶνος
to-found the disturbance having-settled great and contest
ἐν τῇ συγκλήτῳ γενομένου πρὸς τὰς ἐναντίας γνώμας,
in the senate having-taken-place toward the opposite opinions
ὅμως ἐνίκησεν ἡ μαλακωτέρα καὶ ὑπείκουσα τῷ δήμῳ
nevertheless prevailed the softer and yielding to-the people
καὶ διδοῦσα τῶν ὑπάτων τὸν ἕτερον ἀπὸ τοῦ πλήθους
and granting of-the consuls the one from the multitude
ἀρχαιρεσιάσαι. ταῦτα δ' ὡς τῇ βουλῇ δοκοῦντα τοῦ
to-elect these-things and as by-the senate resolved the
δικτάτορος ἀνειπόντος ἐν τῷ δήμῳ, παραχρῆμα μέν,
dictator having-proclaimed in the people at-once indeed
οἷον εἰκός, ἡδόμενοι τῇ βουλῇ διηλλάττοντο καὶ τὸν
as is-likely being-pleased with-the senate they-were-reconciled and —
Κάμιλλον οἴκαδε κρότῳ καὶ βοῇ προέπεμπον. τῇ δ'
Camillus home with-applause and shouting escorted on-the and
ὑστεραίᾳ συνελθόντες ἐψηφίσαντο τῆς μὲν Ὁμονοίας ἱερόν,
next-day having-assembled voted — indeed of-Concord a-temple

ὥσπερ εὔξατο Κάμιλλος, εἰς τὴν ἀγορὰν καὶ τὴν ἐκκλησίαν
as vowed Camillus into the forum and the assembly
ἄποπτον ἐπὶ τοῖς γεγενημένοις ἱδρύσασθαι, ταῖς δὲ
overlooking for the having-happened-things to-found to-the and
καλουμέναις Λατίναις μίαν ἡμέραν προσθέντας ἑορτάζειν
called Latin one day having-added to-celebrate
τέτταρας, παραυτίκα δὲ θύειν καὶ στεφανηφορεῖν
four forthwith and to-sacrifice and to-wear-garlands
Ῥωμαίους ἅπαντας. τῶν δ' ἀρχαιρεσίων βραβευθέντων
Romans all the and elections having-been-presided-over
ὑπὸ Καμίλλου κατεστάθησαν ὕπατοι Μάρκος μὲν Αἰμίλιος
by Camillus were-appointed consuls Marcus indeed Aemilius
ἐκ πατρικίων, Λεύκιος δὲ Σέξτιος ἐκ δημοτῶν πρῶτος.
from patricians Lucius and Sextius from plebeians first
καὶ τοῦτο πέρας αἱ Καμίλλου πράξεις ἔσχον.
and this end the of-Camillus deeds had
43 ἐν δὲ τῷ κατόπιν ἐνιαυτῷ λοιμώδης νόσος ἐμπεσοῦσα
in and the following year a-pestilential disease having-fallen-on
τῇ Ῥώμῃ τὸν μὲν ἄλλον ὄχλον οὐ περιληπτὸν ἀριθμῷ
— Rome the indeed other crowd not comprehensible in-number
διέφθειρε, τῶν δ' ἀρχόντων τοὺς πλείστους. ἐτελεύτησε δὲ
destroyed of-the and magistrates the most died and
καὶ Κάμιλλος, ἡλικίας μὲν οὕνεκα καὶ βίου τελειότητος,
also Camillus of-age indeed for-the-sake and of-life completeness
ὡς εἴ τις ἄλλος ἀνθρώπων ὡραῖος, ἀνιάσας δὲ Ῥωμαίους
as if any other of-men ripe having-grieved but Romans
ὡς οὐδὲ σύμπαντες οἱ τῇ νόσῳ κατ' ἐκεῖνον τὸν
as not-even all the(-men) by-the disease at that the
χρόνον ἀποθανόντες.
time having-died

PLUTARCH

ΓΑΪΟΣ ΜΑΡΚΙΟΣ

Coriolanus

The Marcii gave Rome Ancus Marcius, the aqueduct builders, and Censorinus. Gaius Marcius, brought up by his widowed mother, had a strong and steadfast nature that, untrained, bred faults with its virtues: he was admired for his indifference to pleasure, toil, and money, and disliked as harsh and oligarchic. Trained from boyhood in arms, he first served against Tarquin, saving a fallen Roman and winning the oak crown, whose origins Plutarch discusses. Honor only spurred him on, and he valued his mother's joy above all, marrying at her wish and living with her.

ὁ Μαρκίων οἶκος ἐν Ῥώμῃ τῶν πατρικίων πολλοὺς 1
the of-Marcii house in Rome of-the patricians many
παρέσχεν ἐνδόξους ἄνδρας, ὧν καὶ Μάρκιος ἦν
produced distinguished men of-whom also Marcius was
Ἄγκος, ὁ Νομᾶ θυγατριδοῦς καὶ μετὰ Τύλλον Ὁστίλιον
Ancus the of-Numa daughter's-son and after Tullus Hostilius
βασιλεὺς γενόμενος. Μάρκιοι δ' ἦσαν καὶ Πόπλιος καὶ
king having-become Marcii and were also Publius and
Κόϊντος οἱ πλεῖστον ὕδωρ καὶ κάλλιστον ἐν Ῥώμῃ
Quintus the(-men) most water and finest into Rome
καταγαγόντες, καὶ Κηνσωρῖνος, ὃν δὶς ἀπέδειξε τιμητὴν
having-brought-down and Censorinus whom twice appointed censor
ὁ Ῥωμαίων δῆμος, εἶτα ὑπ' αὐτοῦ πεισθεὶς ἐκείνου νόμον
the of-Romans people then by him persuaded his law
ἔθετο καὶ ἐψηφίσατο μηδενὶ τὴν ἀρχὴν δὶς ἐξεῖναι
made and voted for-no-one the office twice to-be-permitted
μετελθεῖν. Γάϊος δὲ Μάρκιος, ὑπὲρ οὗ τάδε γέγραπται,
to-seek Gaius and Marcius about whom these-things have-been-written
τραφεὶς ὑπὸ μητρὶ χήρᾳ πατρὸς ὀρφανός, ἀπέδειξε τὴν
reared under a-mother widowed of-a-father orphaned showed the
ὀρφανίαν ἄλλα μὲν ἔχουσαν κακά, πρὸς δὲ τὸ γενέσθαι
orphanhood other indeed having evils toward but the to-become

σπουδαῖον ἄνδρα καὶ διαφέροντα τῶν πολλῶν οὐδὲν
an-excellent man and surpassing the many in-no-way
ἐμποδὼν οὖσαν, ἄλλως δὲ τοῖς φαύλοις αἰτιᾶσθαι καὶ
hindrance being otherwise but to-the base to-blame and
ψέγειν παρέχουσαν αὑτὴν ὡς ἀμελείᾳ διαφθείρουσαν.
to-censure offering itself as by-neglect corrupting
ὁ δ' αὐτὸς ἀνὴρ ἐμαρτύρησε καὶ τοῖς τὴν φύσιν
the and same man bore-witness also for-the(-men) the nature
ἡγουμένοις, ἐὰν οὖσα γενναία καὶ ἀγαθὴ παιδείας ἐνδεὴς
thinking if being noble and good of-training lacking
γένηται, πολλὰ τοῖς χρηστοῖς ὁμοῦ φαῦλα συναποτίκτειν,
it-become many with-the good together bad to-bring-forth-also
ὥσπερ εὐγενῆ χώραν ἐν γεωργίᾳ θεραπείας μὴ τυχοῦσαν.
like noble land in farming of-tending not having-obtained
τὸ γὰρ ἰσχυρὸν αὐτοῦ πρὸς ἅπαντα τῆς γνώμης καὶ
the for strong his in everything of-the mind and
καρτερὸν ὁρμάς τε μεγάλας καὶ τελεσιουργοὺς τῶν
steadfast impulses both great and accomplishing of-the
καλῶν ἐξέφερε, θυμοῖς τε αὖ πάλιν χρώμενον ἀκράτοις
noble brought-forth by-passions and in-turn again indulging unmixed
καὶ φιλονεικίαις ἀτρέπτοις οὐ ῥᾴδιον οὐδ' εὐάρμοστον
and by-rivalries unbending not easy nor accommodating
ἀνθρώποις συνεῖναι παρεῖχεν, ἀλλὰ τὴν ἐν ἡδοναῖς καὶ
for-men to-associate-with made-him but the in pleasures and
πόνοις καὶ ὑπὸ χρημάτων ἀπάθειαν αὐτοῦ θαυμάζοντες καὶ
toils and by money impassivity his admiring and
ὀνομάζοντες ἐγκράτειαν καὶ δικαιοσύνην καὶ ἀνδρείαν, ἐν
calling self-control and justice and courage in
ταῖς πολιτικαῖς αὖ πάλιν ὁμιλίαις ὡς ἐπαχθῆ καὶ ἄχαριν
the political in-turn again dealings as offensive and graceless
καὶ ὀλιγαρχικὴν ἐδυσχέραινον. οὐδὲν γὰρ ἄλλο Μουσῶν
and oligarchic they-disliked nothing for else from-the-Muses'

εὐμενείας ἀπολαύουσιν ἄνθρωποι τοσοῦτον ὅσον ἐξημερῶσαι
goodwill enjoy men so-much as to-tame
τὴν φύσιν ὑπὸ λόγου καὶ παιδείας, τῷ λόγῳ δεξαμένην
the nature by reason and training by-the reason having-accepted
young-men sharing-the-enthusiasm with-him and the rich
ὀλίγου δεῖν ἅπαντας, μόνον ἐκεῖνον ἄνδρα τὴν πόλιν
of-a-little to-lack all only that man the city
ἔχειν ἀήττητον καὶ ἀκολάκευτον βοῶντας. ἔνιοι δὲ τῶν
to-have unconquered and unflattering shouting some but of-the
πρεσβυτέρων ἠναντιοῦντο, ὑφορώμενοι τὸ ἀποβησόμενον.
elders opposed suspecting the going-to-result
ἀπέβη δὲ χρηστὸν οὐδέν. οἱ γὰρ δήμαρχοι παρόντες,
it-resulted and good nothing the for tribunes being-present
ὡς ᾔσθοντο τῇ γνώμῃ κρατοῦντα τὸν Μάρκιον,
when they-perceived in-the opinion prevailing — Marcius
ἐξέδραμον εἰς τὸν ὄχλον μετὰ βοῆς παρακελευόμενοι
ran-out into the crowd with shouting urging

συνίστασθαι καὶ βοηθεῖν αὐτοῖς τοὺς πολλούς. ἐκκλησίας
to-combine and to-help them the many an-assembly
δὲ θορυβώδους γενομένης, καὶ τῶν λόγων οὓς ὁ
and tumultuous having-become and the words which —
Μάρκιος εἶπεν ἀναγορευθέντων, ὀλίγου ἐδέησεν ἐμπεσεῖν
Marcius spoke having-been-reported little it-lacked to-burst
ὑπ᾽ ὀργῆς φερόμενος εἰς τὴν βουλὴν ὁ δῆμος· οἱ
from anger rushing into the senate the people the
δὲ δήμαρχοι τοῦ Μαρκίου τὴν αἰτίαν ἐποιοῦντο, καὶ
but tribunes — Marcius the blame made and
πέμποντες ἐκάλουν αὐτὸν ἀπολογησόμενον. ὡς δὲ πρὸς
sending summoned him going-to-make-his-defense when but with
ὕβριν τοὺς πεμφθέντας ἐξήλασεν ὑπηρέτας, αὐτοὶ μετὰ
insult the sent he-drove-off attendants themselves with
τῶν ἀγορανόμων ἦκον ἄξοντες βίᾳ τὸν ἄνδρα, καὶ
the aediles came going-to-lead by-force the man and
τοῦ σώματος ἐπελαμβάνοντο. συστάντες δ᾽ οἱ πατρίκιοι
the body seized having-combined but the patricians
τοὺς μὲν δημάρχους ἀπετρίψαντο, τοῖς δ᾽ ἀγορανόμοις
the indeed tribunes thrust-off the and aediles
καὶ πληγὰς ἐνέβαλον. τότε μὲν οὖν ἑσπέρα καταλαβοῦσα
even blows they-dealt then indeed then evening having-come-on
τὴν ταραχὴν διέλυσεν· ἅμα δ᾽ ἡμέρᾳ τὸν δῆμον
the disturbance broke-up together-with and day the people
ἐξηγριωμένον ὁρῶντες οἱ ὕπατοι καὶ συντρέχοντα
infuriated seeing the consuls and running-together
πανταχόθεν εἰς τὴν ἀγορὰν ἔδεισαν ὑπὲρ τῆς πόλεως,
from-all-sides into the forum feared for the city
καὶ τὴν βουλὴν ἀθροίσαντες ἐκέλευον σκοπεῖν ὅπως
and the senate having-assembled urged to-consider how
ἐπιεικέσι λόγοις καὶ δόγμασι χρηστοῖς πραΰνωσι καὶ
with-fair words and decrees good they-might-soothe and

καταστήσωσι τοὺς πολλούς, ὡς οὐ φιλοτιμίας οὖσαν ὥραν,
settle the many as not of-ambition being the-season
οὐδ' ὑπὲρ δόξης ἅμιλλαν, εἰ σωφρονοῦσιν, ἀλλὰ καιρὸν
nor for glory a-contest if they-are-sensible but a-time
ἐπισφαλῆ καὶ ὀξύν, εὐγνώμονος πολιτείας καὶ φιλανθρώπου
perilous and acute of-considerate policy and humane
δεόμενον. εἰξάντων δὲ τῶν πλείστων προελθόντες ὡς
needing having-yielded and the most having-come-forward as
ἐνῆν μάλιστα τῷ δήμῳ διελέγοντο καὶ κατεπράϋνον,
was-possible most to-the people they-conversed and calmed
ἀπολυόμενοί τε τὰς διαβολὰς ἐπιεικῶς καὶ τῷ νουθετοῦντι
clearing-away both the slanders fairly and the admonishing
καὶ δάκνοντι μετρίως χρώμενοι, περὶ δὲ τιμῆς ὠνίων καὶ
and stinging moderately using about and price of-goods and
ἀγορᾶς οὐδὲν διοίσεσθαι πρὸς αὐτοὺς φάσκοντες.
market in-nothing to-be-going-to-differ with them asserting
18 ὡς οὖν ἐνεδίδου τὸ πολὺ τοῦ δήμου καὶ φανερὸν
when then was-yielding the greater-part of-the people and plain
ἦν τῷ κοσμίως καὶ σωφρόνως ἀκούειν ἀγόμενον καὶ
was by-the decorously and soberly to-listen being-led and
κηλούμενον, ἀνέστησαν οἱ δήμαρχοι, τῇ μὲν βουλῇ
charmed rose the tribunes to-the indeed senate
σωφρονούσῃ τὸν δῆμον ἀνθυπείξειν ὅσα καλῶς
being-sensible the people to-be-going-to-yield-in-turn as-far-as well
ἔχει φάσκοντες, τὸν δὲ Μάρκιον ἀπολογεῖσθαι κελεύοντες,
is asserting — but Marcius to-defend-himself ordering
εἰ μή φησιν ἐπὶ συγχύσει τῆς πολιτείας καὶ καταλύσει
if not he-says for confusion of-the constitution and overthrow
τοῦ δήμου τήν τε βουλὴν παροξύνειν καὶ καλούμενος
of-the people the both senate to-provoke and being-summoned
ὑπ' αὐτῶν ἀπειθῆσαι, τέλος δὲ τοὺς ἀγορανόμους
by them to-have-disobeyed finally and the aediles

τύπτων ἐν ἀγορᾷ καὶ προπηλακίζων ἐμφύλιον, ὅσον
beating in forum and insulting civil as-far-as
ἐπ᾽ αὐτῷ, πόλεμον ἐξεργάσασθαι καὶ προαγαγεῖν εἰς
in him war to-have-brought-about and to-have-driven into
ὅπλα τοὺς πολίτας. ἔλεγον δὲ ταῦτα βουλόμενοι τὸν
arms the citizens they-said and these-things wishing —
Μάρκιον ἢ ταπεινὸν ἀποδεῖξαι, παρὰ φύσιν ὑφέντα
Marcius either humble to-show against nature having-lowered
τὸ φρόνημα καὶ θεραπεύοντα τὸν δῆμον, ἢ τῇ φύσει
the pride and courting the people or the nature
χρώμενον ἀνήκεστον ἀπεργάσασθαι τὴν πρὸς αὐτὸν ὀργήν·
using incurable to-make the against himself anger
ὃ μᾶλλον ἤλπιζον, ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρός.
which more they-hoped rightly aiming-at the man
ἔστη μὲν γὰρ ὡς ἀπολογησόμενος, καὶ παρέσχεν αὐτῷ
he-stood indeed for as going-to-make-his-defense and granted him
σιωπὴν καὶ ἡσυχίαν ὁ δῆμος· ὡς δ᾽ ἤρξατο πρὸς
silence and quiet the people when but he-began to
τοὺς ἀνθρώπους δεητικόν τινα λόγον προσδεχομένους οὐ
the men a-pleading some speech expecting not
μόνον ἐπαχθεῖ παρρησίᾳ χρῆσθαι καὶ πλείονι κατηγορίᾳ
only offensive frankness to-use and greater accusation
τῆς παρρησίας, ἀλλὰ καὶ τόνῳ φωνῆς καὶ διαθέσει
than-the frankness but also by-pitch of-voice and bearing
προσώπου τὴν ἐγγὺς ὑπεροψίας καὶ ὀλιγωρίας ἀφοβίαν
of-face the near to-contempt and disdain fearlessness
ἐπιδεικνύμενος, ὁ μὲν δῆμος ἐξετραχύνθη καὶ φανερὸς ἦν
displaying the indeed people was-exasperated and plain was
δυσανασχετῶν καὶ βαρυνόμενος τοῖς λεγομένοις, τῶν δὲ
being-indignant and resenting at-the things-being-said of-the and
δημάρχων ὁ θρασύτατος Σικίννιος μικρὰ τοῖς συνάρχουσι
tribunes the boldest Sicinius little with-the colleagues

διαλεχθείς, εἶτ' εἰς μέσον ἀναγορεύσας ὡς θάνατος ὑπὸ
having-conferred then into middle having-proclaimed that death by
τῶν δημάρχων τοῦ Μαρκίου κατέγνωσται, προσέταξε τοῖς
the tribunes — of-Marcius has-been-decreed ordered the
ἀγορανόμοις ἀναγαγόντας αὐτὸν ἐπὶ τὴν ἄκραν εὐθὺς
aediles having-led him to the height at-once
ὦσαι κατὰ τῆς ὑποκειμένης φάραγγος. ἁπτομένων δὲ τῶν
to-thrust down the lying-below ravine seizing and the
ἀγορανόμων τοῦ σώματος ἔδοξε μὲν καὶ τῶν δημοτῶν
aediles the body it-seemed indeed even of-the plebeians
πολλοῖς φρικτὸν εἶναι τὸ γιγνόμενον καὶ ὑπερήφανον, οἱ
to-many horrible to-be the being-done and arrogant the
δὲ πατρίκιοι παντάπασιν ἐκστάντες καὶ περιπαθήσαντες
and patricians altogether beside-themselves and greatly-moved
ὥρμησαν ἀπὸ κραυγῆς βοηθεῖν, οἱ δὲ καὶ χερσὶ
rushed with shouting to-help some and also with-hands
τοὺς ἐπιλαμβανομένους ἀνείργοντες καὶ καταμιγνύντες
the(-men) seizing-him keeping-off and mingling-in
ἑαυτοῖς τὸν Μάρκιον· ἔνιοι δὲ καὶ τὰς χεῖρας ὀρέγοντες
among-themselves — Marcius some and also the hands stretching-out
ἐδέοντο τῶν πολλῶν, ἐπειδὴ λόγου τε καὶ φωνῆς οὐδὲν
begged the many since of-word both and of-voice no
ἔργον ἦν ἐν ἀκοσμίᾳ τοσαύτῃ καὶ θορύβοις, ἄχρι οὗ
work was in disorder so-great and uproars until —
συμφρονήσαντες οἱ φίλοι καὶ οἰκεῖοι τῶν δημάρχων ὡς
having-agreed the friends and intimates of-the tribunes that
ἄνευ φόνου πολλοῦ τῶν πατρικίων οὐκ ἔστιν ἐξαγαγεῖν
without slaughter great of-the patricians not it-is-possible to-lead-off
οὐδὲ κολάσαι τὸν Μάρκιον, ἔπεισαν αὐτοὺς ἀφελεῖν
nor to-punish — Marcius persuaded them to-remove
τῆς τιμωρίας τὸ ἀλλόκοτον καὶ βαρύ, μὴ βίᾳ μηδ'
from-the punishment the strange and heavy-part not by-force nor

ἄκριτον ἀποκτιννύντας, ἀλλὰ τῷ δήμῳ ψῆφον ἐπενεγκεῖν
untried killing-him but to-the people a-vote to-bring
ἀποδόντας. ἐκ τούτου καταστὰς ὁ Σικίννιος ἠρώτα τοὺς
having-given from this having-stood — Sicinius asked the
πατρικίους τί βουλόμενοι τὸν Μάρκιον ἀφαιροῦνται
patricians what wishing — Marcius they-take-away-from
τοῦ δήμου βουλομένου κολάζειν. ἐκείνων δὲ πάλιν
the people wishing to-punish-him they and again
ἀντερωτώντων· "τί μὲν οὖν διανοεῖσθε καὶ τί βούλεσθε
asking-in-return what indeed then do-you-intend and what do-you-wish
ὑμεῖς, ἄνδρα Ῥωμαίων ἐν τοῖς ἀρίστοις ἄνευ κρίσεως
you a-man of-Romans among the best without trial
ἐπὶ τιμωρίαν ὠμὴν καὶ παράνομον οὕτως ἄγοντες;"
to punishment cruel and lawless so leading
"ἀλλὰ ταύτην μέν," εἶπεν ὁ Σικίννιος, "ὑμεῖς μὴ ποιεῖσθε
but this indeed said — Sicinius you not make
πρόφασιν διαφορᾶς καὶ στάσεως πρὸς τὸν δῆμον· ὃ γὰρ
pretext of-quarrel and sedition toward the people what for
ἀξιοῦτε, δίδωσιν ὑμῖν, κριθῆναι τὸν ἄνδρα. σοὶ δέ, Μάρκιε,
you-claim gives you to-be-tried the man to-you and Marcius
προαγορεύομεν εἰς τρίτην ἀγορὰν παρεῖναι καὶ πείθειν
we-give-notice on third market-day to-be-present and to-persuade
τοὺς πολίτας, εἰ μηδὲν ἀδικεῖς, ὡς ψήφῳ κρινοῦντας."
the citizens if nothing you-do-wrong as by-vote going-to-judge
τότε μὲν οὖν ἠγάπησαν οἱ πατρίκιοι τὴν διάλυσιν, 19
then indeed then were-content the patricians with-the settlement
καὶ τὸν Μάρκιον ἀσμένως ἔχοντες ἀπῆλθον. ἐν δὲ τῷ
and — Marcius gladly having went-away in and the
μεταξὺ χρόνῳ τῆς τρίτης ἀγορᾶς (ἀγορὰς δὲ ποιοῦσι
between time of-the third market-day market-days and make
Ῥωμαῖοι δι' ἡμέρας ἐνάτης, νουνδίνας καλοῦντες) ἐλπίδα
Romans through day ninth nundinae calling hope

μὲν αὐτοῖς παρέσχε διακρούσεως στρατεία γενομένη πρὸς
indeed to-them afforded of-evasion a-campaign having-arisen against
Ἀντιάτας, ὡς μῆκος ἕξουσα καὶ χρόνον ἐν ᾧ χειροήθης
Antiates as length going-to-have and time in which tractable
ὁ δῆμος ἔσται, τῆς ὀργῆς ἀπομαρανθείσης ἢ παντελῶς
the people will-be the anger having-withered or utterly
ἐκπεσούσης δι᾽ ἀσχολίαν καὶ πόλεμον· ἔπειτα δέ, ὡς
having-fallen-away through occupation and war then but when
ταχὺ διαλυσάμενοι πρὸς τοὺς Ἀντιάτας ἐπανῆλθον, ἐγίνοντο
quickly having-made-terms with the Antiates they-returned there-were
σύνοδοι τῶν πατρικίων πολλάκις, δεδιότων καὶ σκοπούντων
meetings of-the patricians often fearing and considering
ὅπως τόν τε Μάρκιον οὐ προήσονται τόν τε δῆμον
how — both Marcius not they-would-give-up the both people
αὖθις οὐ παρέξουσιν ἐκταράττειν τοῖς δημαγωγοῖς.
again not they-would-allow to-throw-into-confusion for-the demagogues
Ἄππιος μὲν οὖν Κλαύδιος αἰτίαν ἔχων ἐν τοῖς μάλιστα
Appius indeed then Claudius blame having among the most
μισόδημος εἶναι διεμαρτύρετο, λέγων τήν τε βουλὴν αὐτοὺς
people-hating to-be protested saying the both senate them
ἀναιρήσειν καὶ προήσεσθαι παντάπασι τὴν πολιτείαν,
to-be-going-to-destroy and to-be-going-to-abandon altogether the constitution
εἰ κύριον τῆς ψήφου κατὰ τῶν πατρικίων δέξονται
if master of-the vote against the patricians they-shall-allow
γενόμενον τὸν δῆμον· οἱ δὲ πρεσβύτατοι καὶ δημοτικώτατοι
having-become the people the but oldest and most-popular
τοὐναντίον ἠξίουν οὐ χαλεπὸν οὐδὲ βαρύν, ἀλλὰ πρᾷον καὶ
the-opposite claimed not harsh nor heavy but mild and
φιλάνθρωπον ὑπὸ τῆς ἐξουσίας ἔσεσθαι τὸν δῆμον· οὐ γὰρ
humane by the power to-be-going-to-be the people not for
καταφρονοῦντι τῆς βουλῆς, ἀλλ᾽ οἰομένῳ καταφρονεῖσθαι
despising the senate but thinking to-be-despised

τιμὴν καὶ παραμυθίαν γενήσεσθαι τὴν κρίσιν, ὥσθ᾽
an-honor and consolation to-be-going-to-become the trial so-that
ἅμα τὴν ψῆφον λαβόντας ἀποθήσεσθαι τὴν ὀργήν.
at-once the vote having-received to-be-going-to-lay-aside the anger
ὁρῶν οὖν ὁ Μάρκιος εὐνοίᾳ μὲν αὐτοῦ, φόβῳ δὲ τοῦ 20
seeing then — Marcius from-goodwill indeed toward-him from-fear and of-the
δήμου τὴν σύγκλητον ἀπορουμένην, ἠρώτησε τοὺς δημάρχους
people the senate being-at-a-loss asked the tribunes
τί κατηγοροῦσιν αὐτοῦ καὶ περὶ τίνος κριθησόμενον ἐπὶ
what they-accuse of-him and about what going-to-be-tried to
τὸν δῆμον ἐξάγουσιν. εἰπόντων δ᾽ ἐκείνων ὅτι τυραννίς
the people they-bring-out having-said and they that tyranny
ἐστι τὸ ἔγκλημα καὶ τυραννεῖν διανοούμενον ἀποδείξουσιν
is the charge and to-be-tyrant intending they-will-prove
αὐτόν, οὕτως ἐξαναστὰς αὐτὸς ἔφη πρὸς τὸν δῆμον ἤδη
him so having-risen himself he-said to the people already
βαδίζειν ἀπολογησόμενος καὶ μηδένα τρόπον κρίσεως μηδέ,
to-go going-to-make-his-defense and no manner of-trial nor
ἂν ἁλῷ, κολάσεως παραιτεῖσθαι· "μόνον ὅπως," ἔφη,
if he-be-convicted of-punishment to-decline only see-that he-said
"τοῦτο κατηγορήσητε καὶ μὴ ψεύσησθε τὴν βουλήν." ὡς δ᾽
this you-accuse and not you-belie the senate when and
ὡμολόγησαν, ἐπὶ τούτοις ἡ κρίσις ἐγίνετο. συνελθόντος δὲ
they-agreed on these-terms the trial took-place having-assembled and
τοῦ δήμου πρῶτον μὲν οὐ κατὰ λόχους, ἀλλὰ κατὰ φυλὰς
the people first indeed not by centuries but by tribes
ἐβιάζοντο γίνεσθαι τὴν ψηφοφορίαν, τῶν εὐπόρων καὶ
they-forced to-be-held the voting of-the well-off and
γνωρίμων καὶ στρατευομένων τὸν ἄπορον καὶ πολυπράγμονα
notable and serving the poor and meddlesome
καὶ τὸν καλοῦ φροντίζοντα μηδὲν ὄχλον ἐπίπροσθεν ταῖς
and the of-good caring nothing crowd before in-the

ψήφοις ποιοῦντες. ἔπειτα τὴν τυραννίδος ἀφέντες αἰτίαν
votes making then the of-tyranny having-dropped charge
ἀναπόδεικτον οὖσαν, ἐκείνων πάλιν ἐμέμνηντο τῶν λόγων
unproven being those again they-recalled the words
οὓς ὁ Μάρκιος πρότερον εἶπεν ἐν τῇ βουλῇ, κωλύων μὲν
which — Marcius before spoke in the senate preventing indeed
ἐπευωνίσαι τὴν ἀγοράν, ἀφελέσθαι δὲ τὴν δημαρχίαν
to-lower-the-price-of the market to-take-away and the tribunate
τοῦ δήμου κελεύων. καινὸν δὲ κατηγόρησαν αὐτοῦ
from-the people urging new and they-brought-against him
κατηγόρημα τὴν διανομὴν τῶν λαφύρων, ἃ λαβὼν ἐκ
an-accusation the distribution of-the spoils which having-taken from
τῆς Ἀντιατῶν χώρας οὐκ ἀνήνεγκεν εἰς τὸ δημόσιον, ἀλλὰ
the of-Antiates country not he-brought to the public-treasury but
διένειμε τοῖς μεθ' αὑτοῦ στρατευομένοις· ὑφ' οὗ δὴ
distributed to-the(-men) with him serving by which indeed
καὶ μάλιστα λέγεται διαταραχθῆναι τὸν Μάρκιον.
also most it-is-said to-have-been-thrown-into-confusion — Marcius
οὐ γὰρ προσεδόκησεν οὐδ' εὐπόρησε πρὸς τὸν ὄχλον ἐκ
not for be-expected nor was-ready toward the crowd from
τοῦ παραυτίκα λόγων πιθανῶν, ἀλλ' ἐπαινοῦντι τοὺς
the moment of-words persuasive but praising the(-men)
στρατευσαμένους ἐθορύβησαν αὐτῷ πλείονες ὄντες οἱ
having-served they-shouted-down him more being the(-men)
μὴ στρατευσάμενοι. τέλος δ' οὖν ταῖς φυλαῖς τῆς ψήφου
not having-served at-last but then to-the tribes the vote
δοθείσης αἱ καθαιροῦσαι τρεῖς ἐγένοντο. ἦν δὲ τίμημα
having-been-given those condemning three were was and penalty
τῆς καταδίκης ἄϊδιος φυγή. μετὰ δὲ τὴν ἀναγόρευσιν ὁ
of-the condemnation perpetual exile after and the proclamation the
μὲν δῆμος οὐδέποτε νικήσας μάχῃ πολεμίους τοσοῦτον
indeed people never having-conquered in-battle enemies so-much

ἐφρόνησεν ὅσον τότε φρονῶν καὶ γεγηθὼς ἀπῄει, τὴν
was-proud as-much-as then being-proud and rejoicing it-went-away the
δὲ βουλὴν ἄχος ἔσχε καὶ κατήφεια δεινή, μεταμελομένην
but senate grief held and dejection terrible repenting
καὶ δυσφοροῦσαν ἐπὶ τῷ μὴ πάντα ποιῆσαι καὶ παθεῖν
and being-vexed at the not everything to-have-done and to-have-suffered
πρότερον ἢ περιϊδεῖν ὑβρίσαντα καὶ χρησάμενον ἐξουσίᾳ
before than to-overlook having-insulted and having-used power
τοσαύτῃ τὸν δῆμον. οὐδὲν δ' ἔδει τότε πρὸς διάγνωσιν
so-great the people nothing and was-needed then for distinguishing
ἐσθῆτος ἢ παρασήμων ἑτέρων, ἀλλ' εὐθὺς ἦν δῆλος ὅτι
of-dress or of-badges other but at-once it-was plain that
δημότης ὁ χαίρων καὶ ὁ δυσφορῶν ὅτι πατρίκιος.
a-plebeian the(-one) rejoicing and the(-one) being-vexed that a-patrician

21–24 · MARCIUS GOES TO TULLUS

Marcius left Rome calm in appearance, but his grief had turned to anger, and he resolved to raise a war against Rome. He went in disguise to Antium, to the house of Tullus Aufidius, his old enemy, sat by the hearth with his head covered, and offered himself as an ally; Tullus received him gladly. At Rome Titus Latinus, slow to heed a dream that Zeus disliked his procession's dancer, lost his son and his strength until he told the senate; its inquiry found that a slave had been scourged through the forum ahead of the procession.

πλὴν αὐτὸς ὁ Μάρκιος, ἀνέκπληκτος καὶ ἀταπείνωτος, καὶ 21
however himself — Marcius undismayed and unhumbled and
σχήματι καὶ βαδίσματι καὶ προσώπῳ καθεστηκώς, ἐν
in-bearing and in-gait and in-face composed among
πᾶσι τοῖς ἄλλοις ἐφαίνετο πεπονθόσιν ἀσυμπαθὴς ἑαυτῷ
all the others appeared having-suffered unpitying to-himself

μόνος, οὐχ ὑπὸ λογισμοῦ καὶ πραότητος, οὐδὲ τῷ φέρειν
alone not from reasoning and gentleness nor by-the to-bear
μετρίως τὸ συμβεβηκός, ἀλλ' ἐμπαθὴς ὢν ὑπ' ὀργῆς καὶ
moderately the having-happened but passionate being from anger and
βαρυφροσύνης, ὅπερ ἀγνοοῦσιν οἱ πολλοὶ λύπην οὖσαν.
resentment which not-know the many grief being
ὅταν γὰρ εἰς θυμὸν μεταβάλῃ, καθάπερ ἐκπυρωθεῖσα τὸ
when for into rage it-changes as-if set-on-fire the
ταπεινὸν ἀποβάλλει καὶ ἀργόν· ᾗ καὶ δοκεῖ δραστικὸς
lowly it-casts-off and idle whereby also seems active
ὁ θυμούμενος ὡς θερμὸς ὁ πυρέττων, οἷον ἐν σφυγμῷ
the enraged-man as hot the fevered-man as in throbbing
καὶ διατάσει καὶ ὄγκῳ γενομένης τῆς ψυχῆς. ἐδήλωσε δὲ
and distension and swelling having-come the soul showed and
τοῖς ἔργοις αὐτίκα μάλα τὴν διάθεσιν ταύτην ὁ Μάρκιος.
by-the deeds at-once very the disposition this — Marcius
εἰσελθὼν γὰρ οἴκαδε, καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα
having-gone-in for home and the mother and the wife
μετὰ κλαυθμοῦ καὶ βοῆς ὀλοφυρομένας ἀσπασάμενος καὶ
with weeping and crying lamenting having-embraced and
κελεύσας μετρίως φέρειν τὸ συμβεβηκός, εὐθὺς ἀπιὼν
having-bidden moderately to-bear the having-happened at-once going-away
ἐβάδιζεν ἐπὶ τὰς πύλας. ἐκεῖ δὲ τῶν πατρικίων ὁμοῦ
he-walked to the gates there and the patricians together
πάντων προπεμπόντων αὐτὸν οὔτε τι λαβὼν οὔτε
all escorting him neither anything having-taken nor
τινὸς δεηθεὶς ἀπηλλάττετο, τρεῖς ἢ τέτταρας πελάτας
of-anyone having-asked he-departed three or four clients
ἔχων περὶ αὑτόν. ἡμέρας δ' ὀλίγας ἔν τισιν ἀγροῖς αὐτὸς
having around himself days and few in some fields himself
καθ' ἑαυτὸν ὑπὸ πολλῶν διενεχθεὶς διαλογισμῶν, οἵους ὁ
by himself by many tossed-about reasonings such-as the

θυμὸς ὑπέβαλλεν, ὥστ᾽ οὔτ᾽ εἰς καλὸν οὔτε συμφέρον οὐδέν,
anger suggested so-that neither to fine nor advantageous nothing
ἀλλ᾽ ἢ τὸ Ῥωμαίους μετελθεῖν, ἐγίνωσκε πόλεμόν τινα
but except the Romans to-punish he-decided a-war some
βαρὺν καὶ ὅμορον ἀναστῆσαι ἐπ᾽ αὐτούς. ὥρμησεν οὖν
heavy and neighboring to-raise against them he-set-out then
διαπειρᾶσθαι πρῶτον Οὐολούσκων, ἀκμάζοντας μὲν εἰδὼς
to-test first Volscians flourishing indeed knowing-them
ἔτι καὶ σώμασι καὶ χρήμασι, ταῖς δὲ γεγενημέναις ἔναγχος
still both in-bodies and in-money by-the and having-happened lately
ἥτταις οὐ τοσοῦτον ἀπολωλέναι τῆς δυνάμεως ὅσον
defeats not so-much to-have-been-lost of-the power as-much-as
ἐγγεγονέναι φιλονεικίας αὐτοῖς καὶ ὀργῆς οἰόμενος.
to-have-been-engendered of-contentiousness in-them and of-anger thinking
ἦν δέ τις ἀνὴρ ἐξ Ἀντίου πόλεως διά τε πλοῦτον 22
there-was and a-certain man from Antium city because-of both wealth
καὶ ἀνδρείαν καὶ γένους ἐπιφάνειαν ἀξίωμα βασιλικὸν ἔχων
and courage and of-birth distinction dignity royal having
ἐν πᾶσιν Οὐολούσκοις, ὄνομα Τύλλος Ἀμφίδιος. ὑπὸ
among all Volscians by-name Tullus Aufidius by
τούτου μισούμενον Μάρκιος ἑαυτὸν ὡς οὐδένα Ῥωμαίων
this hated Marcius himself as no-one of-Romans
ἐγίνωσκε· πολλάκις γὰρ ἐν ἀπειλαῖς καὶ προκλήσεσι κατὰ
knew often for in threats and challenges in
τὰς μάχας γενόμενοι, καὶ κομπάσαντες διὰ τὸ ἐνάμιλλον
the battles having-been and having-boasted because-of the rivalry
οἷα νεανιῶν πολεμικῶν φιλοτιμίαι καὶ ζῆλοι φέρουσιν,
such-as of-young-men warlike ambitions and emulations bring
ἴδιον προσεκτήσαντο τῷ κοινῷ τὸ κατ᾽ ἀλλήλων ἔχθος. οὐ
own they-had-acquired-besides to-the common the toward one-another hatred not
μὴν ἀλλὰ μέγεθός τι φρονήματος ἔχοντα τὸν Τύλλον ὁρῶν,
indeed but greatness some of-spirit having — Tullus seeing

καὶ μάλιστα δὴ Οὐολούσκων ἐπιθυμοῦντα Ῥωμαίους λαβὴν
and most indeed of-Volscians desiring Romans a-hold
παρασχόντας ἐν μέρει κολοῦσαι, μαρτυρίαν ἀπέλιπε τῷ
having-given in turn to-cut-down testimony he-left to-the(-one)
εἰπόντι· "θυμῷ μάχεσθαι χαλεπόν· ὃ γὰρ ἂν θέλῃ, ψυχῆς
having-said with-anger to-fight hard what for — it-wishes with-life
ὠνεῖται." λαβὼν γὰρ ἐσθῆτα καὶ σκευὴν ἐν ᾗ μάλιστα
it-buys having-taken for clothing and equipment in which most
μὴ δόξειν ὃς ἦν ἔμελλεν ὁρώμενος, ὥσπερ Ὀδυσσεύς,
not to-seem who he-was he-was-likely being-seen like Odysseus

ἀνδρῶν δυσμενέων κατέδυ πόλιν.
of-men hostile he-entered the-city

23 ἦν δ' ἑσπέρα, καὶ πολλοὶ μὲν αὐτῷ προσετύγχανον,
it-was and evening and many indeed him met
ἐγνώριζε δ' οὐδείς. ἐβάδιζεν οὖν ἐπὶ τὴν οἰκίαν τοῦ Τύλλου,
recognized but no-one he-walked then to the house — of-Tullus
καὶ παρεισελθὼν ἄφνω πρὸς τὴν ἑστίαν ἐκάθισε σιωπῇ,
and having-slipped-in suddenly to the hearth sat in-silence
καὶ τὴν κεφαλὴν ἐγκαλυψάμενος ἡσυχίαν ἦγεν. οἱ
and the head having-covered quiet kept the(-men)
δὲ κατὰ τὴν οἰκίαν θαυμάσαντες ἀναστῆσαι μὲν οὐκ
and in the house having-marveled to-raise indeed not
ἐτόλμησαν (ἦν γάρ τι καὶ περὶ αὐτὸν ἀξίωμα καὶ
dared there-was for something also about him dignity both
τοῦ σχήματος καὶ τῆς σιωπῆς), ἔφρασαν δὲ τῷ Τύλλῳ
of-the bearing and of-the silence they-told and — to-Tullus
περὶ δεῖπνον ὄντι τὴν ἀτοπίαν τοῦ πράγματος. ὁ δ'
at dinner being the strangeness of-the matter he and
ἐξαναστὰς ἦκε πρὸς αὐτόν, καὶ ἀνέκρινε τίς ὢν ἀφῖκται
having-risen came to him and asked who being he-has-come

καὶ τίνων δεόμενος. οὕτως οὖν ὁ Μάρκιος ἀποκαλυψάμενος
and of-what needing so then — Marcius having-uncovered
καὶ μικρὸν ἀνασχών, "εἰ μήπω με γινώσκεις, ὦ Τύλλε,"
and little having-paused if not-yet me you-know O Tullus
εἶπεν, "ἀλλ' ὁρῶν ἀπιστεῖς, ἀνάγκη με κατήγορον ἐμαυτοῦ
he-said but seeing you-disbelieve necessity-is me accuser of-myself
γενέσθαι. Γάϊός εἰμι Μάρκιος, ὁ πλεῖστα σὲ καὶ
to-become Gaius I-am Marcius the(-one) most you and
Οὐολούσκους ἐργασάμενος κακά, καὶ τὴν οὐκ ἐῶσαν
Volscians having-done evils and the not allowing
ἀρνεῖσθαι ταῦτα περιφέρων προσηγορίαν τὸν Κοριολανόν.
to-deny these-things carrying-about surname — Coriolanus
οὐδὲν γὰρ ἄλλο τῶν πολλῶν πόνων καὶ κινδύνων ἐκείνων
no for other of-the many toils and dangers those
ἐκτησάμην ἔπαθλον ἢ τὸ παράσημον ὄνομα τῆς πρὸς
I-acquired prize than the distinguishing name of-the toward
ὑμᾶς ἔχθρας. καὶ τοῦτό μοι περίεστιν ἀναφαίρετον·
you enmity and this for-me remains inalienable
τὰ δ' ἄλλα ὁμοῦ πάντα φθόνῳ δήμου καὶ ὕβρει,
the but other together all by-envy of-the-people and insolence
μαλακίᾳ δὲ καὶ προδοσίᾳ τῶν ἐν τέλει καὶ ἰσοτίμων
by-softness and and treachery of-the(-men) in office and of-equal-rank
ἀπεστέρημαι, καὶ φυγὰς ἐλήλαμαι, καὶ γέγονα τῆς
I-have-been-deprived and an-exile I-have-been-driven and have-become of-the
ἑστίας τῆς σῆς ἱκέτης, οὐχ ὑπὲρ ἀδείας καὶ σωτηρίας (τί
hearth the your suppliant not for security and safety why
γὰρ ἔδει με δεῦρο ἥκειν φοβούμενον ἀποθανεῖν;) ἀλλὰ
for was-it-needful me hither to-come fearing to-die but
δίκας λαβεῖν χρῄζων, καὶ λαμβάνων ἤδη παρὰ τῶν
justice to-take needing and taking already from the(-men)
ἐκβαλλόντων τῷ σὲ ποιεῖν ἐμαυτοῦ κύριον. εἰ μὲν οὖν
casting-me-out by-the you to-make of-myself master if indeed then

ἐστί σοι θυμὸς ἐπιχειρεῖν τοῖς πολεμίοις, ἴθι, ταῖς ἐμαῖς
there-is in-you spirit to-attack the enemies come with-the my
συμφοραῖς, ὦ γενναῖε, χρῆσαι, καὶ κοινὸν εὐτύχημα ποίησον
misfortunes O noble-man deal and common good-fortune make
Οὐολούσκων τὴν ἐμὴν ἀτυχίαν, τοσούτῳ βέλτιον ὑπὲρ ὑμῶν
of-Volscians the my misfortune so-much better for you
πολεμήσοντος ἢ πρὸς ὑμᾶς, ὅσῳ πολεμοῦσι βέλτιον
going-to-fight than against you by-as-much-as fight better
οἱ γινώσκοντες τὰ παρὰ τοῖς πολεμίοις τῶν
the(-men) knowing the-things among the enemies than-the(-men)
ἀγνοούντων. εἰ δ' ἀπείρηκας, οὔτ' ἐγὼ βούλομαι ζῆν
not-knowing if and you-have-given-up neither I wish to-live
οὔτε σοὶ καλῶς ἔχει σώζειν πάλαι μὲν ἐχθρὸν
nor for-you well is to-save of-old indeed a-personal-enemy
ἄνδρα καὶ πολέμιον, νῦν δ' ἀνωφελῆ καὶ ἄχρηστον." ὡς
man and a-public-enemy now and useless and worthless when
οὖν ταῦτα ὁ Τύλλος ἤκουσεν, ἥσθη τε θαυμαστῶς
then these-things — Tullus heard was-delighted both wonderfully
καὶ τὴν δεξιὰν ἐμβαλών, "ἀνίστασο," εἶπεν, "ὦ Μάρκιε,
and the right-hand having-put-in rise he-said O Marcius
καὶ θάρρει. μέγα γὰρ ἡμῖν ἀγαθὸν ἥκεις διδοὺς σεαυτόν,
and take-courage great for to-us a-good you-come giving yourself
ἔλπιζε δὲ μείζονα παρὰ Οὐολούσκων." καὶ τότε μὲν
hope and greater-things from Volscians and then indeed
εἱστία φιλοφρονούμενος τὸν Μάρκιον, ἐν δὲ ταῖς ἐπιούσαις
he-feasted showing-kindness-to — Marcius in and the following
ἡμέραις ἐβουλεύοντο περὶ τοῦ πολέμου καθ' ἑαυτούς.
days they-deliberated about the war by themselves
24 τὴν δὲ Ῥώμην ἥ τε τῶν πατρικίων δυσμένεια πρὸς
— and Rome the both of-the patricians hostility toward
τὸν δῆμον, οὐχ ἥκιστα τὴν τοῦ Μαρκίου καταδίκην
the people not least the — of-Marcius condemnation

αἰτίαν ἐχόντων, ἐτάραττε, καὶ πολλὰ δαιμόνια μάντεις
as-the-cause holding troubled and many portents seers
καὶ ἱερεῖς καὶ ἰδιῶται προσήγγελλον ἄξια φροντίδος.
and priests and private-men reported worthy of-attention
ἓν δὲ λέγεται τοιοῦτό τι γενέσθαι. Τίτος ἦν
one and it-is-said such something to-have-happened Titus there-was
Λατῖνος, ἀνὴρ οὐκ ἄγαν ἐπιφανής, ἀπράγμων δὲ καὶ
Latinus a-man not very distinguished quiet but and
μέτριος ἄλλως καὶ καθαρὸς δεισιδαιμονίας, ἔτι δὲ μᾶλλον
moderate otherwise and free of-superstition still and more
ἀλαζονείας. οὗτος ὄναρ εἶδεν ὡς τοῦ Διὸς εἰς ὄψιν
of-boastfulness he a-dream saw as — Zeus into sight
ἥκοντος αὐτῷ καὶ κελεύοντος εἰπεῖν πρὸς τὴν σύγκλητον
coming to-him and bidding to-say to the senate
ὅτι κακὸν τὸν ὀρχηστὴν ἔστειλαν αὐτῷ πρὸ τῆς πομπῆς
that bad the dancer they-had-sent for-him before the procession
καὶ ἀτερπέστατον. ἰδὼν δὲ τὴν ὄψιν ἔλεγε μὴ πάνυ
and most-unpleasing having-seen and the vision he-said not very
φροντίσαι τὸ πρῶτον· ὡς δὲ καὶ δεύτερον ἰδὼν καὶ
to-have-heeded at-the first when and also a-second-time having-seen and
τρίτον ἠμέλησε, παιδός τε χρηστοῦ θάνατον ἐπιδεῖν καὶ τοῦ
a-third he-neglected of-a-son both good death to-witness and the
σώματος ἄφνω παρεθέντος ἀκρατὴς γενέσθαι. ταῦτα
body suddenly having-been-paralyzed powerless to-become these-things
δ' ἐν κλινιδίῳ φοράδην κομισθεὶς εἰς τὴν σύγκλητον
and in a-litter carried having-been-brought to the senate
ἀπήγγειλεν. ἀπαγγείλας δ', ὥς φασιν, εὐθὺς ᾔσθετο
he-reported having-reported and as they-say at-once he-perceived
ῥωννύμενον αὑτοῦ τὸ σῶμα, καὶ ἀναστὰς ἀπῄει δι' αὑτοῦ
recovering-strength his the body and having-stood-up went-away by himself
βαδίζων. θαυμάσαντες οὖν οἱ βουλευταὶ πολλὴν ἐποιήσαντο
walking having-marveled then the senators much made

τοῦ πράγματος ζήτησιν. ἦν δὲ τοιοῦτον· οἰκέτην τις
of-the matter inquiry it-was and such a-house-slave someone
αὐτοῦ παραδοὺς οἰκέταις ἑτέροις ἐκέλευσεν ἐξάγειν δι᾽
his having-handed-over to-house-slaves other ordered to-lead-out through
ἀγορᾶς μαστιγοῦντας, εἶτ᾽ ἀποκτεῖναι. ταῦτα πράττουσιν
forum scourging then to-kill these-things doing
αὐτοῖς καὶ τὸν ἄνθρωπον αἰκιζομένοις, στροφάς τε
to-them and the man maltreating writhings both
παντοδαπὰς ὑπ᾽ ὀδύνης στρεφόμενον καὶ κινήσεις ἄλλας
of-all-kinds from pain twisting and movements other
ἀτερπεῖς τῷ περιπαθεῖν κινούμενον, ἡ πομπὴ κατὰ
unpleasing by-the suffering moving the procession by
τύχην ἠκολουθήκει. καὶ πολλοὶ μὲν ἐδυσχέραινον τῶν
chance had-followed and many indeed were-displeased of-the(-men)
παρόντων, οὔτ᾽ ὄψιν ἱλαρὰν ὁρῶντες οὔτε κινήσεις
present neither sight cheerful seeing nor movements
πρεπούσας, οὐδεὶς δ᾽ ἐπεξῆλθεν, ἀλλὰ λοιδορίαι μόνον
fitting no-one but interfered but abuses only
ἐγένοντο καὶ κατάραι τῷ πικρῶς οὕτως κολάζοντι. καὶ
there-were and curses on-the(-one) cruelly so punishing and
γὰρ ἐχρῶντο πολλῇ πρὸς τοὺς οἰκέτας ἐπιεικείᾳ τότε, διὰ
for they-used much toward the house-slaves fairness then through
αὐτουργίαν καὶ τὸ κοινωνεῖν διαίτης ἡμερώτερον
working-with-their-own-hands and the sharing of-life more-gently
ἔχοντες πρὸς αὐτοὺς καὶ συνηθέστερον. ἦν δὲ μεγάλη
being toward them and more-familiarly it-was and great
κόλασις οἰκέτου πλημμελήσαντος, εἰ ξύλον ἁμάξης,
punishment for-a-house-slave having-offended if timber of-a-wagon
ᾧ τὸν ῥυμὸν ὑπερείδουσιν, ἀράμενος διεξέλθοι παρὰ
with-which the pole they-prop having-taken-up he-went-round through
τὴν γειτνίασιν. ὁ γὰρ τοῦτο παθὼν καὶ ὀφθεὶς
the neighborhood the(-one) for this having-suffered and having-been-seen

παρὰ τῶν συνοίκων καὶ γειτόνων οὐκέτι πίστιν εἶχεν.
by the housemates and neighbors no-longer credit he-had
ἐκαλεῖτο δὲ φούρκιφερ· ὃ γὰρ οἱ Ἕλληνες ὑποστάτην
was-called and furcifer what for the Greeks prop
καὶ στήριγμα, τοῦτο Ῥωμαῖοι φοῦρκαν ὀνομάζουσιν.
and support this Romans furca name

25–28 · WAR AGAINST ROME

The games were repeated, and Plutarch praises the Roman scruple about ritual. The Volscians, ordered out of Rome during the games, were provoked to demand back their lands, and Marcius was made general with Tullus. He ravaged the Roman land but spared the patricians' estates, setting the people against them. Given field command, he took Circeii's surrender, stormed the Latin towns, and spared those that came over.

ὡς οὖν ὁ Λατῖνος ἀπήγγειλε τὴν ὄψιν αὐτοῖς καὶ 25
when then — Latinus reported the vision to-them and
διηπόρουν ὅστις ἦν ὁ τῆς πομπῆς τότε προηγούμενος
they-were-at-a-loss who was the(-one) of-the procession then leading
ἀτερπὴς καὶ κακὸς ὀρχηστής, ἀνεμνήσθησαν ἔνιοι διὰ
unpleasing and bad dancer remembered some because-of
τὴν ἀτοπίαν τῆς τιμωρίας ἐκείνου τοῦ θεράποντος, ὃν
the strangeness of-the punishment of-that the servant whom
μαστιγοῦντες ἐξήγαγον δι' ἀγορᾶς, εἶτ' ἐθανάτωσαν.
scourging they-led-out through forum then put-to-death
συμφωνησάντων οὖν τῶν ἱερέων ὅ τε δεσπότης δίκην
having-agreed then the priests the both master penalty
ἔδωκε, καὶ τῷ θεῷ τὴν πομπὴν καὶ τὰς θέας αὖθις
paid and for-the god the procession and the spectacles again
ἐξ ἀρχῆς ἐπετέλουν. ἔοικεν οὖν ὁ Νομᾶς τά τ' ἄλλα
from the-beginning they-performed it-seems then — Numa the both other

τῶν ἱερῶν σοφώτατος ἐξηγητὴς γεγονέναι, καὶ τοῦτο
of-the sacred-rites most-wise expounder to-have-been and this
παγκάλως γε νομοθετῆσαι πρὸς εὐλάβειαν αὐτοῖς. ὅταν
most-finely at-least to-have-legislated for caution for-them when
γὰρ ἄρχοντες ἢ ἱερεῖς πράττωσί τι τῶν θείων, ὁ κῆρυξ
for magistrates or priests perform any of-the divine-things the herald
πρόεισι μεγάλῃ φωνῇ βοῶν, "Ὅκ ἄγε." σημαίνει δ' ἡ
goes-before with-loud voice shouting Hoc age means and the
φωνή, τοῦτο πρᾶττε, προσέχειν κελεύουσα τοῖς ἱεροῖς καὶ
cry this do to-attend bidding to-the sacred-rites and
μηδὲν ἔργον ἐμβαλεῖν μεταξὺ μηδὲ χρείαν ἀσχολίας, ὡς
no work to-interpose between nor need of-occupation as
τὰ πλεῖστα τῶν ἀνθρωπίνων ἀναγκαίῳ τινὶ τρόπῳ καὶ
the most of-the human-things by-a-necessary some way and
διὰ βίας περαινόμενα. θυσίας δὲ καὶ πομπὰς καὶ θέας
through force accomplished sacrifices and and processions and spectacles
οὐ μόνον ἐξ αἰτίας τηλικαύτης, ἀλλὰ καὶ διὰ μικρὰς
not only from cause so-great but also for small-reasons
Ῥωμαίοις ἔθος ἐστὶν ἀναλαμβάνειν. ἵππου τε γὰρ ἑνὸς
for-Romans custom is to-repeat of-horse both for one
τῶν ἀγόντων τὰς καλουμένας θήσσας ἀτονήσαντος,
of-the(-ones) drawing the called tensae having-flagged
καὶ πάλιν τοῦ ἡνιόχου τῇ ἀριστερᾷ χειρὶ τὰς ἡνίας
and again the charioteer with-the left hand the reins
συλλαβόντος, αὖθις ἐψηφίσαντο τὴν πομπὴν ἐπιτελεῖν. ἐν
having-taken again they-voted the procession to-perform in
δὲ τοῖς κάτω χρόνοις μίαν θυσίαν τριακοντάκις ἐποίησαν,
and the later times one sacrifice thirty-times they-performed
ἀεί τινος ἐλλείμματος ἢ προσκρούσματος γίνεσθαι
always some omission or offense to-happen
δοκοῦντος. τοιαύτη μὲν εὐλάβεια πρὸς τὸ θεῖον Ῥωμαίων.
seeming such indeed caution toward the divine of-Romans

ὁ δὲ Μάρκιος καὶ Τύλλος ἐν Ἀντίῳ τοῖς δυνατωτάτοις 26
— and Marcius and Tullus in Antium with-the most-powerful
κρύφα διελέγοντο, καὶ παρεκάλουν, ἕως στασιάζουσιν οἱ
secretly conversed and urged while are-at-odds the
Ῥωμαῖοι πρὸς ἀλλήλους, τὸν πόλεμον ἐξενεγκεῖν. τῶν
Romans with one-another the war to-bring-on they
δὲ δυσωπουμένων, ὅτι σπονδαὶ διέτεις ἦσαν αὐτοῖς καὶ
and being-abashed because a-truce two-year was to-them and
ἀνοχαὶ γεγενημέναι, πρόφασιν αὐτοὶ Ῥωμαῖοι παρέσχον,
an-armistice having-been-made a-pretext themselves Romans provided
ἔκ τινος ὑποψίας ἢ διαβολῆς ἐν θέαις καὶ ἀγῶσι
from some suspicion or slander at spectacles and games
κηρύξαντες ἀπιέναι Οὐολούσκους πρὸ ἡλίου δύνοντος ἐκ
having-proclaimed to-depart Volscians before the-sun setting from
τῆς πόλεως. ἔνιοι δέ φασιν ἀπάτῃ τοῦ Μαρκίου καὶ
the city some and say by-deceit — of-Marcius and
δόλῳ γενέσθαι τοῦτο, πέμψαντος εἰς Ῥώμην πρὸς τοὺς
trickery to-have-happened this having-sent to Rome to the
ἄρχοντας οὐκ ἀληθῆ κατήγορον τῶν Οὐολούσκων, ὡς ἐν
magistrates a-not true accuser of-the Volscians as at
ταῖς θέαις διανοουμένων ἐπιθέσθαι τοῖς Ῥωμαίοις καὶ τὴν
the spectacles intending to-attack the Romans and the
πόλιν ἐμπιπρᾶν. πάντας μὲν γὰρ αὐτοὺς τὸ κήρυγμα τοῦτο
city to-set-on-fire all indeed for them the proclamation this
δυσμενεστέρους ἐποίησε τοῖς Ῥωμαίοις· ὁ δὲ Τύλλος ἐπὶ
more-hostile made toward-the Romans — and Tullus to
μεῖζον αἴρων τὸ πρᾶγμα καὶ παροξύνων τέλος ἔπεισε
greater raising the matter and inciting at-last persuaded-them
πέμψαντας εἰς Ῥώμην τήν τε χώραν ἀπαιτεῖν καὶ τὰς
having-sent to Rome the both country to-demand-back and the
πόλεις, ὅσας ἀφῄρηνται πολέμῳ τῶν Οὐολούσκων. οἱ
cities as-many-as have-been-taken in-war from-the Volscians the

δὲ Ῥωμαῖοι τῶν πρέσβεων ἀκούσαντες ἠγανάκτησαν, καὶ
and Romans the envoys having-heard were-indignant and
ἀπεκρίναντο προτέρους μὲν ἀναλήψεσθαι τὰ ὅπλα τοὺς
answered first indeed to-be-going-to-take-up the arms the
Οὐολούσκους, ὑστέρους δὲ καταθήσεσθαι Ῥωμαίους. ἐκ
Volscians last but to-be-going-to-lay-down Romans from
τούτου συναγαγὼν ἐκκλησίαν πάνδημον ὁ Τύλλος, ἐπεὶ τὸν
this having-gathered an-assembly of-all-the-people — Tullus when the
πόλεμον ἐψηφίσαντο, συνεβούλευε τὸν Μάρκιον καλέσαι,
war they-had-voted advised — Marcius to-summon
μηδὲν αὐτῷ μνησικακοῦντας, ἀλλὰ πιστεύσαντας ὅτι
in-nothing against-him bearing-a-grudge but trusting that
συμμαχῶν ὠφελήσει ὅσα πολεμῶν οὐκ ἔβλαψεν.
as-an-ally he-will-help as-much-as warring not he-harmed
27 ἐπεὶ δὲ κληθεὶς ὁ Μάρκιος καὶ διαλεχθεὶς πρὸς
when and having-been-summoned — Marcius and having-spoken to
τὸ πλῆθος οὐχ ἧττον ἀπὸ τῶν λόγων ἢ τῶν ὅπλων
the multitude no less from his words than from-the arms
ἀνὴρ δεινὸς ἐφάνη καὶ πολεμικὸς καὶ τὸ φρονεῖν καὶ
a-man formidable appeared and warlike and in-the thinking and
τολμᾶν περιττός, ἀποδείκνυται μετὰ Τύλλου στρατηγὸς
daring extraordinary he-is-appointed with Tullus general
αὐτοκράτωρ τοῦ πολέμου. δεδιὼς δὲ τὸν χρόνον ἐν ᾧ
with-full-power of-the war fearing and the time in which
παρασκευάσασθαι τοὺς Οὐολούσκους ἔδει, μὴ πολὺς
to-prepare the Volscians it-was-needful lest long
γενόμενος τὸν καιρὸν ἀφέληται τῆς πράξεως, τὰ μὲν
having-become the opportunity should-take-away of-the action the indeed
ἄλλα τοὺς κατὰ πόλιν δυνατοὺς καὶ ἄρχοντας ἐκέλευε
other-things the in city powerful-men and magistrates he-ordered
συνάγειν καὶ πορίζειν, αὐτὸς δὲ τοὺς προθυμοτάτους ἄνευ
to-gather and to-provide himself and the most-eager without

καταλόγου πείσας ἑκόντας αὐτῷ συνεξελθεῖν, ἐνέβαλεν
levy having-persuaded willing with-him to-go-out invaded
εἰς τὴν τῶν Ῥωμαίων ἄφνω καὶ μηδενὸς προσδοκῶντος.
into the of-the Romans suddenly and no-one expecting
ὅθεν ηὐπόρησε λείας τοσαύτης ὅσην ἄγοντας καὶ φέροντας
whence he-was-supplied with-booty so-much as driving and carrying
καὶ χρωμένους ἐν τῷ στρατοπέδῳ τοὺς Οὐολούσκους
and using in the camp the Volscians
ἀπειπεῖν. ἦν δὲ μικρότατον ἔργον αὐτῷ τῆς στρατείας
to-give-up was and smallest deed to-him of-the campaign
ἐκείνης ἡ εὐπορία καὶ τὸ πολλὰ βλάψαι καὶ κακῶσαι τὴν
that the plenty and the much to-harm and to-damage the
χώραν· οὗ δ' ἕνεκα ταῦτ' ἔπραττε, μέγα, τὸ τοὺς
country of-which but for-the-sake these-things he-did great-was the the
πατρικίους προσδιαβαλεῖν τῷ δήμῳ. τὰ γὰρ ἄλλα πάντα
patricians to-slander-further to-the people the for other all
λυμαινόμενος καὶ διαφθείρων, τοὺς ἐκείνων ἀγροὺς ἰσχυρῶς
ravaging and destroying the their fields strongly
ἐφύλαττε, καὶ οὐκ εἴα κακουργεῖν οὐδὲ λαμβάνειν ἐξ
he-guarded and not allowed to-do-harm nor to-take from
ἐκείνων οὐδέν. ὅθεν ἐν διαβολαῖς ἔτι μᾶλλον ἐγένοντο καὶ
them nothing whence in slanders still more they-were and
ταραχαῖς πρὸς ἀλλήλους, οἱ μὲν πατρίκιοι τοῖς πολλοῖς
disturbances toward one-another the indeed patricians the many
ἐγκαλοῦντες ὡς ἄνδρα δυνατὸν ἀδίκως ἐκβαλοῦσιν, ὁ
accusing as a-man powerful unjustly having-banished the
δὲ δῆμος ἐκείνους ᾐτιᾶτο διὰ μνησικακίαν ἐπάγειν τὸν
and people them blamed because-of malice to-bring-on —
Μάρκιον, εἶτα πολεμουμένων ἑτέρων θεατὰς καθῆσθαι,
Marcius then being-warred-on others spectators to-sit
φύλακα τοῦ πλούτου καὶ τῶν χρημάτων ἔξω τὸν πόλεμον
guard of-the wealth and of-the goods outside the war

αὐτὸν ἔχοντας. ταῦτα διαπραξάμενος ὁ Μάρκιος, καὶ
itself having these-things having-accomplished — Marcius and
μεγάλα πρὸς τὸ θαρρεῖν καὶ καταφρονεῖν τῶν πολεμίων
greatly toward the to-be-bold and to-despise the enemies
τοὺς Οὐολούσκους ὠφελήσας, ἀπήγαγεν ἀσφαλῶς.
the Volscians having-helped led-off safely
28 ἐπεὶ δὲ πᾶσα ταχὺ καὶ προθύμως ἡ τῶν Οὐολούσκων
when and all quickly and eagerly the of-the Volscians
δύναμις ἠθροίσθη πολλὴ φανεῖσα, μέρος μὲν ἔγνωσαν
force had-gathered large having-appeared part indeed they-decided
ὑπολιπεῖν ταῖς πόλεσιν ὑπὲρ ἀσφαλείας, μέρει δὲ
to-leave for-the cities for safety with-part and
στρατεύειν ἐπὶ τοὺς Ῥωμαίους· ἑλέσθαι δὲ τῶν ἡγεμονιῶν
to-campaign against the Romans to-choose and of-the commands
ὁ Μάρκιος ἔδωκε τῷ Τύλλῳ τὴν ἑτέραν. ὁ δὲ Τύλλος,
— Marcius gave — to-Tullus the one-of-the-two — and Tullus
εἰπὼν ὡς οὐδὲν ἀρετῇ λειπόμενον αὑτοῦ τὸν Μάρκιον
having-said that in-nothing in-virtue falling-short of-himself — Marcius
ὁρᾷ, τύχῃ δὲ βελτίονι κεχρημένον ἐν ταῖς μάχαις
he-sees in-fortune but better having-had in the battles
ἁπάσαις, ἐκέλευσεν ἡγεῖσθαι τῶν ἐξιόντων, αὐτὸς δὲ τάς
all ordered-him to-lead the(-men) going-out himself and the
τε πόλεις ὑπομένων φυλάξειν καὶ τοῖς στρατευομένοις
both cities remaining to-be-going-to-guard and for-the campaigners
ὑπουργήσειν τὰ πρόσφορα. μᾶλλον οὖν ἐπιρρωσθεὶς ὁ
to-be-going-to-supply the needful more then strengthened —
Μάρκιος ἐχώρει πρῶτον ἐπὶ Κίρκαιον, πόλιν ἀποικίδα
Marcius advanced first against Circeii a-city colony
Ῥωμαίων, καὶ ταύτην ἐνδοῦσαν ἑκουσίως οὐδὲν ἠδίκησε.
of-Romans and this having-surrendered voluntarily in-nothing wronged
μετὰ δὲ ταύτην ἐπόρθει τὴν Λατίνων χώραν, ἐνταῦθα
after and this ravaged the of-Latins country there

προσμαχεῖσθαι προσδεχόμενος αὐτῷ τοὺς Ῥωμαίους
to-be-going-to-fight-against expecting him the Romans
ὑπὲρ τῶν Λατίνων συμμάχων ὄντων καὶ πολλάκις αὐτοὺς
for the Latins allies being and often them
ἐπικαλουμένων. ἐπεὶ δὲ καὶ τὸ πλῆθος ἀπρόθυμον ἐγένετο
calling-on when but also the multitude unwilling became
καὶ τοῖς ὑπάτοις ὀλίγος ἔτι περιῆν τῆς ἀρχῆς χρόνος,
and to-the consuls little still remained of-the office time
ἐν ᾧ κινδυνεύειν οὐκ ἐβούλοντο, καὶ διὰ ταῦτα τοὺς
in which to-run-risks not they-wished and for these-reasons the
Λατίνους ἀπέπεμψαν, οὕτως ὁ Μάρκιος ἐπ᾽ αὐτὰς τὰς
Latins they-sent-away so — Marcius against the-very the
πόλεις ἦγε, καὶ Τολερίνους καὶ Λαουικανοὺς καὶ Πεδανούς,
cities led and Tolerini and Labicani and Pedani
ἔτι δὲ Βωλανοὺς ἀντιστάντας αὐτῷ κατὰ κράτος ἑλών,
still and Bolani having-resisted him by force having-taken
τά τε σώματα λείαν ἐποιήσατο καὶ τὰ χρήματα διήρπασε.
the both persons booty made and the goods plundered
τῶν δὲ προστιθεμένων ἐπιμέλειαν ἐποιεῖτο πολλήν,
of-the(-men) and coming-over care he-took much
ὅπως μηδ᾽ ἄκοντος αὐτοῦ βλάπτοιντο, πορρωτάτω
so-that not-even against-the-will him they-should-be-harmed farthest-off
στρατοπεδεύων καὶ τῆς χώρας ἀπεχόμενος.
encamping and from-the country abstaining

Marcius took Bolae, and Lavinium was besieged; the people wished to recall him, but the senate refused. He encamped at the Cluilian trenches, five miles from Rome, and met the senate's envoys with demands that the Volscians' cities and land be restored and that they be given the citizenship the Latins had; he gave them thirty days and withdrew, which envious Volscians, Tullus among them, called treachery, though he used the time to take seven cities. A second embassy was given three days to accept his terms, the priests were granted nothing softer, and Rome waited on chance; Plutarch, on Homer, explains how the gods move men's choices without destroying them.

29 ἐπεὶ δὲ καὶ Βόλλας πόλιν οὐ πλείους σταδίους ἑκατὸν
when and also Bolae a-city not more stades a-hundred
ἀπέχουσαν τῆς Ῥώμης ἑλὼν χρημάτων πολλῶν
distant — from-Rome having-taken of-goods much
ἐκράτησε καὶ πάντας ὀλίγου δεῖν τοὺς ἐν ἡλικίᾳ
he-became-master and all of-little to-lack the(-men) in age
διέφθειρε, τῶν δὲ Οὐολούσκων οὐδ' οἱ μένειν ἐν ταῖς
destroyed of-the and Volscians not-even the(-men) to-remain in the
πόλεσι ταχθέντες ἐκαρτέρουν, ἀλλ' ἐφέροντο σὺν τοῖς ὅπλοις
cities appointed held-out but rushed with the arms
πρὸς τὸν Μάρκιον, ἕνα στρατηγὸν καὶ μόνον ἄρχοντα
to — Marcius one general and only commander
ἑαυτῶν γινώσκειν ἐκεῖνον εἶναι λέγοντες, ἦν ὄνομα κατὰ
of-themselves to-recognize him to-be saying it-was name through
πᾶσαν αὐτοῦ τὴν Ἰταλίαν μέγα καὶ δόξα θαυμαστή, τῆς
all his — Italy great and glory wonderful of-the
ἀρετῆς ἑνὸς σώματος μεταθέσει τοσοῦτον ἀπεργασαμένης
virtue of-one body by-the-transfer so-great having-wrought
τὸ παράλογον ἐν τοῖς πράγμασι. τὰ δὲ τῶν Ῥωμαίων
the reversal in the affairs the-affairs and of-the Romans

οὐδένα κόσμον εἶχε, μάχεσθαι μὲν ἀπεγνωκότων, ἐν δὲ
no order had to-fight indeed having-given-up in but
συστάσεσι καὶ λόγοις στασιαστικοῖς ὁσημέραι πρὸς ἀλλήλους
combinations and speeches seditious daily toward one-another
ὄντων, ἄχρι οὗ Λαουΐνιον ἀπηγγέλθη περιτειχιζόμενον ὑπὸ
being until — Lavinium was-reported being-walled-round by
τῶν πολεμίων, ὅπου καὶ θεῶν ἱερὰ Ῥωμαίοις πατρῴων
the enemies where also of-gods sacred-objects for-Romans ancestral
ἀπέκειτο, καὶ τοῦ γένους ἦσαν αὐτοῖς ἀρχαί, διὰ τὸ
were-stored and of-the race were for-them the-beginnings because-of the
πρώτην πόλιν ἐκείνην κτίσαι τὸν Αἰνείαν. ἐκ δὲ τούτου
first city that to-have-founded — Aeneas from and this
θαυμαστὴ μὲν ἔσχε καὶ ἀθρόα μεταβολὴ γνώμης τὸν δῆμον,
wonderful indeed held and sudden change of-mind the people
ἄτοπος δὲ κομιδῇ καὶ παράλογος τοὺς πατρικίους. ὁ μὲν
strange but utterly and unexpected the patricians the indeed
γὰρ δῆμος ὥρμησε λύειν τὴν τοῦ Μαρκίου καταδίκην καὶ
for people rushed to-annul the — of-Marcius condemnation and
καλεῖν αὐτὸν εἰς τὴν πόλιν, ἡ δὲ βουλὴ συναχθεῖσα καὶ
to-recall him into the city the but senate having-assembled and
σκοποῦσα περὶ τοῦ βουλεύματος ἀπέγνω καὶ διεκώλυσεν,
considering about the proposal rejected and prevented
εἴτε πάντως ἐνίστασθαι φιλονεικοῦσα πᾶσιν οἷς ὁ δῆμος
whether by-all-means to-oppose contending everything which the people
ἐσπούδαζεν, εἴτ᾽ ἄλλως χάριτι τοῦ δήμου τὸν ἄνδρα μὴ
was-eager-for or otherwise as-a-favor to-the people the man not
βουλομένη κατελθεῖν, εἴτε κἀκεῖνον αὐτὸν ἤδη πεποιημένη
wishing to-come-home or also-him himself already having-made
δι᾽ ὀργῆς, ὅτι πάντας ἐποίει κακῶς οὐχ ὑπὸ πάντων
in anger because all he-was-treating badly not by all
ἀγνωμονηθείς, καὶ τῆς πατρίδος αὑτὸν ἔδειξεν ἐχθρόν,
having-been-wronged and of-the fatherland himself showed an-enemy

ἐν ᾗ τὸ κυριώτατον καὶ κράτιστον μέρος ἐγίνωσκε
in which the most-sovereign and strongest part he-knew
συμπαθοῦν αὐτῷ καὶ συναδικούμενον. ἐξενεχθείσης δὲ τῆς
sympathizing with-him and sharing-the-wrong having-been-brought and the
γνώμης εἰς τοὺς πολλούς, ὁ μὲν δῆμος ἄκυρος ἦν
opinion to the many the indeed people without-authority was
τοῦ ψήφῳ καὶ νόμῳ τι ποιεῖν ἄνευ προβουλεύματος.
the by-vote and law anything to-do without a-preliminary-decree
30 ὁ δὲ Μάρκιος ἀκούσας ἔτι μᾶλλον ἐξετραχύνθη, καὶ τὴν
— and Marcius having-heard still more was-exasperated and the
πολιορκίαν ἀπολιπὼν ἐπὶ τὴν πόλιν ὑπ᾽ ὀργῆς ἐχώρει, καὶ
siege having-left against the city in anger went and
περὶ τὰς λεγομένας Κλοιλίας τάφρους κατεστρατοπέδευσε
about the called Cluilian trenches encamped
τεσσαράκοντα τῆς πόλεως σταδίους ἀφεστώς. ὀφθεὶς
forty from-the city stades distant having-been-seen
δὲ φοβερὸς καὶ πολὺν θόρυβον παρασχών, ὅμως ἐν
and fearsome and much uproar having-caused nevertheless in
τῷ παρόντι τὴν στάσιν ἔπαυσεν· οὐδεὶς γὰρ ἔτι τοῖς
the present the sedition stopped no-one for any-longer to-the
πολλοῖς ἐτόλμησεν ἀντειπεῖν οὔτ᾽ ἄρχων οὔτε βουλευτὴς
many dared to-gainsay neither magistrate nor senator
περὶ τοῦ τὸν Μάρκιον κατάγειν, ἀλλ᾽ ὁρῶντες ἐν τῇ πόλει
about the — Marcius to-recall but seeing in the city
διαδρομὰς γυναικῶν καὶ πρὸς ἱεροῖς ἱκεσίας καὶ δάκρυα
runnings-about of-women and at shrines supplications and tears
πρεσβυτῶν καὶ δεήσεις, πάντα δ᾽ ἐνδεᾶ τόλμης καὶ
of-old-men and entreaties all-things and lacking daring and
σωτηρίων λογισμῶν, συνέγνωσαν ὀρθῶς τὸν δῆμον ἐπὶ τὰς
of-saving counsels they-acknowledged rightly the people to the
διαλλαγὰς τοῦ Μαρκίου τραπέσθαι, τὴν δὲ βουλὴν τοῦ
reconciliation — with-Marcius to-have-turned the and senate the

παντὸς ἁμαρτάνειν, ὅτε παύσασθαι καλῶς εἶχεν ὀργῆς
whole to-err when to-cease well it-was from-anger
καὶ μνησικακίας, ἀρχομένην. ἔδοξεν οὖν πᾶσι πρέσβεις
and resentment beginning it-seemed-good then to-all envoys
ἀποστεῖλαι πρὸς τὸν Μάρκιον ἐκείνῳ τε κάθοδον διδόντας
to-send to — Marcius to-him both return giving
εἰς τὴν πατρίδα καὶ τὸν πόλεμον αὐτοῖς λῦσαι δεομένους.
to the fatherland and the war for-them to-end begging
οἱ δὲ πεμφθέντες ἀπὸ βουλῆς ἦσαν μὲν ἐπιτήδειοι τῷ
the(-men) and sent from senate were indeed intimates —
Μαρκίῳ, προσεδέχοντο δὲ πολλὴν περί γε τὰς πρώτας
of-Marcius expected and much in at-least the first
ἀπαντήσεις φιλοφροσύνην παρ᾽ ἀνδρὸς οἰκείου καὶ συνήθους.
meetings friendliness from a-man kinsman and familiar
ἐγίνετο δὲ τοιοῦτον οὐδέν, ἀλλὰ διὰ τοῦ στρατοπέδου
there-was and such nothing but through the camp
τῶν πολεμίων ἀχθέντες ἐνετύγχανον αὐτῷ μετ᾽ ὄγκου
of-the enemies having-been-led they-met him with pomp
καθεζομένῳ καὶ βαρύτητος οὐκ ἀνεκτῆς. ἔχων δὲ τοὺς
sitting and haughtiness not tolerable having and the
πρώτους τῶν Οὐολούσκων περὶ αὑτόν, ἐκέλευε λέγειν ὧν
first of-the Volscians around himself he-ordered to-say what
δεόμενοι τυγχάνουσιν. εἰπόντων δὲ λόγους ἐπιεικεῖς καὶ
asking they-happen-to-be having-spoken and words reasonable and
φιλανθρώπους ἐν ἤθει τῷ πρέποντι καὶ παυσαμένων,
humane in manner the fitting and having-ceased
ἀπεκρίνατο τὰ μὲν πικρῶς ὑπὲρ αὑτοῦ καὶ πρὸς ὀργὴν
he-answered some-things indeed bitterly for himself and in anger
ὧν ἔπαθε, τὰ δ᾽ ὑπὲρ τῶν Οὐολούσκων ὡς στρατηγός,
at-what he-had-suffered others and for the Volscians as general
ἀποδοῦναι τὰς πόλεις καὶ τὴν χώραν, ὅσην ἀπετέμοντο
to-give-back the cities and the land as-much-as they-had-cut-off

πολέμῳ, κελεύων, καὶ ψηφίσασθαι Οὐολούσκοις ἰσοπολιτείαν
in-war ordering and to-vote for-Volscians equal-citizenship
ἥνπερ Λατίνοις· ἄλλην γὰρ οὐκ εἶναι βέβαιον ἢ
the-very-one-which to-Latins other for not to-be firm than
τὴν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις ἀπαλλαγὴν τοῦ πολέμου.
the on the equal and just-terms ending of-the war
χρόνον δὲ βουλῆς ἔδωκεν αὐτοῖς ἡμέρας τριάκοντα· καὶ
time and for-deliberation he-gave them days thirty and
τῶν πρέσβεων ἀπελθόντων εὐθὺς ἀνέζευξεν ἐκ τῆς χώρας.
the envoys having-departed at-once broke-camp from the country
31 τοῦτο δὴ πρῶτον αἰτίαμα τῶν Οὐολούσκων οἱ πάλαι
this indeed first charge of-the Volscians the(-men) long
βαρυνόμενοι τὴν δύναμιν αὐτοῦ καὶ φθονοῦντες ἐλάμβανον·
resenting the power his and envying took
ὧν ἦν καὶ ὁ Τύλλος, ἰδίᾳ μὲν ὑπὸ τοῦ Μαρκίου μηδὲν
of-whom was also — Tullus privately indeed by — Marcius in-nothing
ἀδικούμενος, ἐν δ' ἀνθρωπίνῳ πάθει γεγονώς. ἤχθετο γὰρ
wronged in but human feeling having-been he-was-vexed for
ἠμαυρωμένος παντάπασι τῇ δόξῃ καὶ παρορώμενος ὑπὸ
having-been-eclipsed altogether in-the glory and overlooked by
τῶν Οὐολούσκων, πάντα μόνον ἡγουμένων αὐτοῖς εἶναι τὸν
the Volscians everything only thinking to-them to-be —
Μάρκιον, τοὺς δὲ ἄλλους ἀξιούντων, ὅσον ἐκεῖνος αὐτοῖς
Marcius the and others claiming as-much-as he to-them
μεταδώσει δυνάμεως καὶ ἀρχῆς, ἀγαπᾶν ἔχοντας. ὅθεν αἱ
will-impart of-power and command to-be-content having whence the
πρῶται κατηγορίαι κρύφα διεσπείροντο, καὶ συνιστάμενοι
first accusations secretly were-spread and combining
πρὸς ἀλλήλους ἠγανάκτουν, καὶ προδοσίαν ἐκάλουν τὴν
with one-another they-were-indignant and treachery called the
ἀνάζευξιν, οὐ τειχῶν οὐδ' ὅπλων, ἀλλὰ καιρῶν, οἷς
withdrawal not of-walls nor of-arms but of-opportunities by-which

καὶ τἆλλα πάντα σώζεσθαι καὶ πάλιν ἀπόλλυσθαι πέφυκεν,
both the-rest all to-be-saved and again to-be-lost is-natural
ἡμερῶν τριάκοντα τῷ πολέμῳ δεδομένων, οὗ μείζονας
days thirty to-the war having-been-given than-which greater
οὐδὲν ἐν ἐλάττονι χρόνῳ λαμβάνειν μεταβολάς. καίτοι τὸν
nothing in less time to-take changes and-yet the
χρόνον τοῦτον ὁ Μάρκιος οὐκ ἀργὸν διῆγεν, ἀλλὰ τοὺς
time this — Marcius not idle spent but the
συμμάχους τῶν πολεμίων ἔφθειρεν ἐπιὼν καὶ περιέκοπτε
allies of-the enemies he-destroyed attacking and cut-off
καὶ πόλεις ἑπτὰ μεγάλας καὶ πολυανθρώπους ἔλαβεν.
and cities seven great and populous took
οἱ δὲ Ῥωμαῖοι βοηθεῖν μὲν οὐκ ἐτόλμων, ἀλλ᾽ ὄκνου
the and Romans to-help indeed not dared but of-hesitation
πλήρεις ἦσαν αὐτῶν αἱ ψυχαί, καὶ τοῖς ἐκνεναρκηκόσι
full were their the souls and to-the having-gone-numb
κομιδῇ καὶ παραλελυμένοις σώμασιν ὁμοίως διέκειντο
utterly and paralyzed bodies alike they-were-disposed
πρὸς τὸν πόλεμον. ἐπεὶ δ᾽ ὁ χρόνος διῆλθε καὶ παρῆν
toward the war when and the time passed and was-present
αὖθις ὁ Μάρκιος μετὰ τῆς δυνάμεως ἁπάσης, ἐκπέμπουσι
again — Marcius with the force all they-send-out
πρεσβείαν πάλιν τοῦ Μαρκίου δεησομένην ὑφέσθαι τῆς
an-embassy again — Marcius going-to-beg to-abate from-the
ὀργῆς καὶ τοὺς Οὐολούσκους ἐκ τῆς χώρας ἀπαγαγόντα
anger and the Volscians from the country having-led-away
πράττειν καὶ λέγειν ὅ τι ἂν ἀμφοτέροις οἴηται βέλτιον
to-do and to-say what ever — for-both he-may-think better
εἶναι· φόβῳ μὲν γὰρ οὐδὲν ἐνδώσειν Ῥωμαίους, ἐὰν
to-be from-fear indeed for nothing to-be-going-to-yield Romans if
δέ τινος τῶν φιλανθρώπων οἴηται δεῖν τυχεῖν
but any of-the humane-things he-may-think to-be-needful to-obtain

τοὺς Οὐολούσκους, ἅπαν αὐτοῖς γενήσεσθαι τὰ ὅπλα
the Volscians all to-them to-be-going-to-come the arms
καταθεμένοις. πρὸς ταῦθ' ὁ Μάρκιος ἔφη μηδὲν ὡς
having-laid-down to these-things — Marcius said nothing as
Οὐολούσκων ἀποκρίνεσθαι στρατηγός, ὡς δὲ Ῥωμαίων
of-Volscians to-answer general as but of-Romans
ἔτι πολίτης παραινεῖν καὶ παρακαλεῖν μετριώτερα
still a-citizen to-advise and to-urge more-moderate-things
φρονήσαντας ἐπὶ τοῖς δικαίοις ἥκειν πρὸς αὐτὸν ἐν
having-thought on the just-terms to-come to him within
ἡμέραις τρισίν, ἃ προκαλεῖται ψηφισαμένους· εἰ δ'
days three the-things-which he-proposes having-voted if but
ἕτερα δόξειε, γιγνώσκειν οὐκ οὖσαν αὐτοῖς ἄδειαν
other-things it-should-seem-good to-know-they not being for-them security
αὖθις μετὰ λόγων κενῶν βαδίζουσιν εἰς τὸ στρατόπεδον.
again with words empty coming to the camp
32 ἐπανελθόντων δὲ τῶν πρέσβεων ἀκούσασα ἡ βουλή,
having-returned and the envoys having-heard the senate
καθάπερ ἐν χειμῶνι πολλῷ καὶ κλύδωνι τῆς πόλεως,
as-if in storm great and surge of-the city
ἄρασα τὴν ἀφ' ἱερᾶς ἀφῆκεν. ὅσοι γὰρ ἦσαν
having-raised the from-the sacred-line let-go as-many-as for were
ἱερεῖς θεῶν ἢ μυστηρίων ὀργιασταὶ ἢ φύλακες ἢ τὴν ἀπ'
priests of-gods or of-mysteries celebrants or guardians or the from
οἰωνῶν πάτριον οὖσαν ἐκ παλαιῶν μαντικὴν ἔχοντες,
birds ancestral being from of-old augury having
τούτους πάντας ἀπιέναι πρὸς τὸν Μάρκιον ἐψηφίσαντο,
these all to-go to — Marcius voted
κεκοσμημένους ὡς ἦν ἑκάστῳ νόμος ἐν ταῖς ἱερουργίαις·
adorned as was for-each custom in the sacred-rites
λέγειν δὲ ταὐτά, καὶ παρακαλεῖν ὅπως ἀπαλλάξας τὸν
to-say and the-same-things and to-urge that having-ended the

πόλεμον οὕτω διαλέγηται περὶ τῶν Οὐολούσκων τοῖς
war so he-should-confer about the Volscians with-the
πολίταις. ἐδέξατο μὲν οὖν εἰς τὸ στρατόπεδον τοὺς ἄνδρας,
citizens he-received indeed then into the camp the men
ἄλλο δ' οὐδὲν ἔδωκεν οὐδ' ἔπραξεν οὐδ' εἶπε μαλακώτερον,
other but nothing gave nor did nor said more-softly
ἀλλ' ἐφ' οἷς πρότερον ἐκέλευε ποιεῖσθαι τὰς διαλύσεις
but on which before he-ordered to-make the settlement
ἢ δέχεσθαι τὸν πόλεμον. ἐπανελθόντων οὖν τῶν ἱερέων
or to-accept the war having-returned then the priests
ἔδοξεν ἀτρεμοῦντας ἐν τῇ πόλει τὰ τείχη φυλάττειν
it-seemed-good keeping-still in the city the walls to-guard
καὶ προσβάλλοντας ἀποκρούεσθαι τοὺς πολεμίους, ἐν τῷ
and attacking to-repel the enemies in the
χρόνῳ μάλιστα καὶ τοῖς ἀπὸ τῆς τύχης παραλόγοις
time most and on-the from the fortune unexpected-things
τιθεμένοις τὰς ἐλπίδας, ἐπεὶ δι' αὑτῶν γε σωτήριον
placing the hopes since through themselves at-least saving
οὐδὲν ἠπίσταντο πράττοντες, ἀλλὰ ταραχὴ καὶ πτοία καὶ
nothing they-knew doing but confusion and alarm and
φήμη πονηρὰ τὴν πόλιν κατεῖχεν, ἄχρι οὗ συνέβη τι
rumor evil the city held until — happened a
πρᾶγμα τῷ πολλάκις ὑφ' Ὁμήρου λεγομένῳ, μὴ πάνυ δὲ
thing to-the often by Homer said not very but

πείθοντι τοὺς πολλούς, ὅμοιον. λέγοντος γὰρ αὐτοῦ καὶ
persuading the many similar saying for him and
ἀναφωνοῦντος ἐπὶ ταῖς μεγάλαις πράξεσι καὶ παραλόγοις·
proclaiming at the great deeds and unexpected-ones

τῷ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη·
to-him and then in mind put the-goddess gleaming-eyed Athena

καὶ τὸ
and the

ἀλλά τις ἀθανάτων τρέψεν φρένας, ὅς γ' ἐνὶ θυμῷ
but some of-immortals turned mind who at-least in heart
δήμου θῆκε φάτιν·
of-the-people put the-talk

καὶ τὸ
and the

ἤ τι ὀϊσσάμενος ἢ καὶ θεὸς ὣς ἐκέλευε·
either something having-suspected or even a-god so commanded

καταφρονοῦσιν ὡς ἀδυνάτοις πράγμασι καὶ μυθεύμασιν
they-despise as impossible things and fables
ἀπίστοις τὸν ἑκάστου λογισμὸν τῆς προαιρέσεως ἄπιστον
incredible the of-each reasoning of-the choice incredible
καθιστάντος. οὐ ποιεῖ δὲ τοῦτο Ὅμηρος, ἀλλὰ τὰ μὲν
making not does but this Homer but the indeed

εἰκότα καὶ συνήθη καὶ κατὰ λόγον περαινόμενα τῷ
probable and customary and according-to reason accomplished to-the
ἐφ᾽ ἡμῖν ἀποδίδωσι, καὶ λέγει δήπου πολλάκις·
in our-power he-assigns and says surely often

αὐτὰρ ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμόν·
but I planned in great-hearted heart

καὶ,
and

ὣς φάτο, Πηλείωνι δ᾽ ἄχος γένετ᾽, ἐν δέ οἱ ἦτορ
so he-spoke to-the-son-of-Peleus and grief came in and his heart
στήθεσσιν λασίοισι διάνδιχα μερμήριζεν·
in-breast shaggy in-two-ways pondered

καὶ πάλιν,
and again

ἀλλὰ τὸν οὔ τι
but him not at-all
πείθ᾽ ἀγαθὰ φρονέοντα, δαΐφρονα Βελλεροφόντην·
persuaded good-things thinking wise-hearted Bellerophon

ἐν δὲ ταῖς ἀτόποις καὶ παραβόλοις πράξεσι καὶ φορᾶς τινος
in and the strange and hazardous deeds and of-transport some
ἐνθουσιώδους καὶ παραστάσεως δεομέναις οὐκ ἀναιροῦντα
inspired and of-ecstasy needing not destroying
ποιεῖ τὸν θεόν, ἀλλὰ κινοῦντα τὴν προαίρεσιν, οὐδ᾽ ὁρμὰς
he-makes the god but moving the choice nor impulses
ἐνεργαζόμενον, ἀλλὰ φαντασίας ὁρμῶν ἀγωγούς, αἷς
working-in but impressions of-impulses leading by-which

οὐδὲ ποιεῖ τὴν πρᾶξιν ἀκούσιον, ἀλλὰ τῷ ἑκουσίῳ δίδωσιν
not-even he-makes the deed involuntary but to-the voluntary gives
ἀρχήν, καὶ τὸ θαρρεῖν καὶ τὸ ἐλπίζειν προστίθησιν. ἢ γὰρ
a-beginning and the to-be-bold and the to-hope adds or for
ἀπαλλακτέον ὅλως τὰ θεῖα πάσης αἰτίας καὶ ἀρχῆς
must-be-freed wholly the divine-powers from-all causation and beginning
τῶν καθ' ἡμᾶς, ἢ τίς ἂν ἄλλος εἴη τρόπος ᾧ
of-the-things concerning us or some — other there-would-be way by-which
βοηθοῦσιν ἀνθρώποις καὶ συνεργοῦσιν; οὐ τὸ σῶμα δήπου
they-help men and work-with-them not the body surely
πλάττοντες ἡμῶν, οὐδὲ τὰς χεῖρας, ὡς δεῖ, μετατιθέντες
molding our nor the hands as needful shifting
αὐτοὶ καὶ τοὺς πόδας, ἀλλὰ τῆς ψυχῆς τὸ πρακτικὸν καὶ
themselves and the feet but of-the soul the active and
προαιρετικὸν ἀρχαῖς τισι καὶ φαντασίαις καὶ ἐπινοίαις
choosing-part by-beginnings some and impressions and thoughts
ἐγείροντες ἢ τοὐναντίον ἀποστρέφοντες καὶ ἱστάντες.
rousing or on-the-contrary turning-away and stopping

Valeria, Publicola's sister, led the women of Rome to Volumnia and Vergilia to beg them to plead with Marcius. Volumnia led the women and his children to the Volscian camp, and Marcius came down to embrace them. She told him that his mother and wife could not pray for Rome's victory and his safety at once, and that he must step over her dead body to reach Rome. At his silence, she and his wife and children fell at his feet; he cried that she had won a victory fortunate for Rome but fatal to him, and led the Volscians, divided but obedient, away.

ἐν δὲ τῇ Ῥώμῃ τότε τῶν γυναικῶν ἄλλαι μὲν πρὸς 33
in and — Rome then of-the women some indeed at
ἄλλοις ἱεροῖς, αἱ δὲ πλεῖσται καὶ δοκιμώταται περὶ τὸν
other shrines the but most and most-esteemed about the
τοῦ Καπιτωλίου Διὸς βωμὸν ἱκέτευον. ἐν δὲ ταύταις
of-the Capitoline Zeus altar supplicated among and these
ἦν ἡ Ποπλικόλα τοῦ μεγάλα καὶ πολλὰ Ῥωμαίους ἔν τε
was the of-Publicola the great-things and many Romans in both
πολέμοις καὶ πολιτείαις ὠφελήσαντος ἀδελφὴ Οὐαλερία.
wars and politics having-benefited sister Valeria
Ποπλικόλας μὲν οὖν ἐτεθνήκει πρότερον, ὡς ἐν τοῖς
Publicola indeed then had-died before as in the-things
περὶ ἐκείνου γεγραμμένοις ἱστορήκαμεν, ἡ δὲ Οὐαλερία
about him written we-have-related — and Valeria
δόξαν εἶχεν ἐν τῇ πόλει καὶ τιμήν, δοκοῦσα τῷ βίῳ
reputation had in the city and honor seeming by-the life
μὴ καταισχύνειν τὸ γένος. ὅπερ οὖν λέγω πάθος
not to-disgrace the family the-very-thing then I-mean feeling
ἐξαπίνης παθοῦσα, καὶ κατ' ἐπίνοιαν οὐκ ἀθείαστον
suddenly having-felt and by an-intuition not unprompted-by-the-gods
ἁψαμένη τοῦ συμφέροντος, αὐτή τε ἀνέστη καὶ τὰς ἄλλας
having-grasped the advantageous she both rose and the others

ἀναστήσασα πάσας ἦκεν ἐπὶ τὴν οἰκίαν τῆς τοῦ Μαρκίου
having-raised all came to the house of-the — of-Marcius
μητρὸς Οὐολουμνίας. ὡς δ' εἰσῆλθε καὶ κατέλαβε μετὰ τῆς
mother Volumnia when and she-entered and found-her with the
νυοῦ καθεζομένην καὶ τὰ παιδία τοῦ Μαρκίου πρὸς
daughter-in-law sitting and the little-children — of-Marcius at
τοῖς κόλποις ἔχουσαν, ἐν κύκλῳ περιστήσασα τὰς γυναῖκας
the bosom holding in a-circle having-set-around the women
αὐτῆς· "Αὗται γε ἡμεῖς," εἶπεν, "ὦ Οὐολουμνία, καὶ σύ,
her ourselves indeed we said O Volumnia and you
Οὐεργιλία, γυναῖκες ἥκομεν πρὸς γυναῖκας, οὔτε βουλῆς
Vergilia women we-have-come to women neither senate
ψηφισαμένης οὔτ' ἄρχοντος κελεύσαντος, ἀλλ' ὁ θεὸς
having-voted nor magistrate having-ordered but the god
ἡμῶν, ὡς ἔοικεν, οἰκτείρας τὴν ἱκετείαν, ὁρμὴν παρέστησε
our as it-seems having-pitied the supplication impulse aroused
δευρὶ τραπέσθαι πρὸς ὑμᾶς καὶ δεηθῆναι σωτηρίαν μὲν
hither to-turn to you and to-beg safety indeed
αὑταῖς καὶ τοῖς ἄλλοις πολίταις, ὑμῖν δὲ πεισθείσαις
for-ourselves and for-the other citizens for-you and having-been-persuaded
ἐπιφανεστέραν φέροντα δόξαν ἧς αἱ Σαβίνων θυγατέρες
more-illustrious bringing glory than-which the of-Sabines daughters
ἔσχον, εἰς φιλίαν καὶ εἰρήνην ἐκ πολέμων συναγαγοῦσαι
had into friendship and peace from wars having-brought-together
πατέρας καὶ ἄνδρας. δεῦτε πρὸς Μάρκιον ἰοῦσαι μεθ' ἡμῶν
fathers and husbands come to Marcius going with us
συνάψασθε τῆς ἱκετηρίας, καὶ μαρτυρήσατε τῇ πατρίδι
join-in the supplication and bear-witness for-the fatherland
μαρτυρίαν ἀληθῆ καὶ δικαίαν, ὅτι πολλὰ πάσχουσα κακῶς
witness true and just that many-things suffering badly
οὐδὲν οὔτ' ἔπραξε δεινὸν οὔτ' ἐβούλευσε περὶ ὑμῶν δι'
nothing either did terrible nor planned about you from

ὀργήν, ἀλλ᾽ ἀποδίδωσιν ὑμᾶς ἐκείνῳ κἂν μηδενὸς τυγχάνειν
anger but gives-back you to-him even-if nothing to-obtain
μέλλῃ τῶν ἐπιεικῶν.” ταῦτα τῆς Οὐαλερίας εἰπούσης
he-be-about of-the reasonable-things these-things — Valeria having-said
ἀνεβόησαν αἱ λοιπαὶ γυναῖκες, ἠμείψατο δὲ ἡ Οὐολουμνία·
cried-out the other women answered and — Volumnia
“καὶ τῶν κοινῶν ἡμῖν συμφορῶν, ὦ γυναῖκες, ἴσον μέτεστι,
both of-the common to-us misfortunes O women equal is-the-share
καὶ ἰδίᾳ πράττομεν κακῶς ἀπολέσασαι τὴν Μαρκίου
and privately we-fare badly having-lost the of-Marcius
δόξαν καὶ ἀρετήν, τὸ σῶμα δ᾽ αὐτοῦ τοῖς τῶν πολεμίων
glory and virtue the body and his by-the of-the enemies
ὅπλοις φρουρούμενον μᾶλλον ἢ σωζόμενον ἐφορῶσαι.
arms guarded rather than saved seeing
μέγιστον δ᾽ ἡμῖν τῶν ἀτυχημάτων ἐστίν, εἰ τὰ τῆς
greatest and to-us of-the misfortunes it-is if the-affairs of-the
πατρίδος οὕτως ἐξησθένηκεν ὥστ᾽ ἐν ἡμῖν ἔχειν τὰς ἐλπίδας.
fatherland so have-weakened that in us to-have the hopes
οὐκ οἶδα γὰρ εἴ τινα ποιήσεται λόγον ἡμῶν ἐκεῖνος, εἴ
not I-know for if any he-will-make account of-us he if
γε μηδένα ποιεῖται τῆς πατρίδος, ἣν καὶ μητρὸς καὶ
at-least none he-makes of-the fatherland which even than-mother and
γυναικὸς καὶ τέκνων προετίμησεν. οὐ μὴν ἀλλὰ χρῆσθε
wife and children he-preferred not indeed but use
ἡμῖν λαβοῦσαι καὶ κομίζετε πρὸς ἐκεῖνον, εἰ μηδὲν ἄλλο,
us having-taken and bring-us to him if nothing else
ταῖς ὑπὲρ τῆς πατρίδος ἱκεσίαις ἐναποπνεῦσαι δυναμένας.”
at-the for the fatherland supplications to-breathe-our-last being-able
ἐκ τούτου τά τε παιδία καὶ τὴν Οὐεργιλίαν ἀναστήσασα 34
from this the both little-children and — Vergilia having-raised
μετὰ τῶν ἄλλων γυναικῶν ἐβάδιζεν εἰς τὸ στρατόπεδον
with the other women she-walked to the camp

τῶν Οὐολούσκων. ἡ δ' ὄψις αὐτῶν τό τ' οἰκτρὸν
of-the Volscians the and sight their the both pitiable
καὶ τοῖς πολεμίοις ἐνεποίησεν αἰδῶ καὶ σιωπήν. ἔτυχε
even to-the enemies produced reverence and silence happened
δ' ὁ Μάρκιος ἐπὶ βήματος καθεζόμενος μετὰ τῶν
and — Marcius on a-platform sitting with the
ἡγεμονικῶν. ὡς οὖν εἶδε προσιούσας τὰς γυναῖκας,
officers when then he-saw approaching the women
ἐθαύμασεν· ἐπιγνοὺς δὲ τὴν μητέρα πρώτην βαδίζουσαν
he-marveled having-recognized and the mother first walking
ἐβούλετο μὲν ἐμμένειν τοῖς ἀτρέπτοις ἐκείνοις καὶ
he-wished indeed to-abide-by the unbending those and
ἀπαραιτήτοις λογισμοῖς, γενόμενος δὲ τοῦ πάθους ἐλάττων
inexorable reasonings having-become but by-the feeling weaker
καὶ συνταραχθεὶς πρὸς τὴν ὄψιν οὐκ ἔτλη καθεζομένῳ
and confounded at the sight not he-endured sitting
προσελθεῖν, ἀλλὰ καταβὰς θᾶττον ἢ βάδην καὶ
to-approach but having-come-down quicker than at-a-walk and
ἀπαντήσας πρώτην μὲν ἠσπάσατο τὴν μητέρα καὶ πλεῖστον
having-met-her first indeed he-embraced the mother and longest
χρόνον, εἶτα δὲ τὴν γυναῖκα καὶ τὰ τέκνα, μήτε δακρύων
time then and the wife and the children neither tears
ἔτι μήτε τοῦ φιλοφρονεῖσθαι φειδόμενος, ἀλλ' ὥσπερ
any-longer nor the showing-affection sparing but as-if
ὑπὸ ῥεύματος φέρεσθαι τοῦ πάθους ἑαυτὸν ἐνδεδωκώς.
by a-current to-be-carried of-the feeling himself having-given-up
35 ἐπεὶ δὲ τούτων ἄδην εἶχε καὶ τὴν μητέρα βουλομένην ἤδη
when and of-these enough he-had and the mother wishing already
λόγων ἄρχειν ᾔσθετο, τοὺς τῶν Οὐολούσκων προβούλους
words to-begin he-perceived the of-the Volscians councilors
παραστησάμενος ἤκουσε τῆς Οὐολουμνίας τοιαῦτα λεγούσης·
having-set-beside-himself he-heard — Volumnia such-things saying

“ὁρᾷς μέν, ὦ παῖ, κἂν αὐταὶ μὴ λέγωμεν, ἐσθῆτι καὶ
you-see indeed O son even-if ourselves not we-speak by-clothing and
μορφῇ τῶν ἀθλίων σωμάτων τεκμαιρόμενος, οἵαν
by-form of-the wretched bodies judging what-kind-of
οἰκουρίαν ἡμῖν ἡ σὴ φυγὴ περιεποιήσατο· λόγισαι δὲ
keeping-at-home for-us the your exile has-procured reckon and
νῦν ὡς ἀτυχέσταται πασῶν ἀφίγμεθα γυναικῶν, αἷς τὸ
now how most-unfortunate of-all we-have-come women to-whom the
ἥδιστον θέαμα φοβερώτατον ἡ τύχη πεποίηκεν, ἐμοὶ μὲν
sweetest sight most-fearful the fortune has-made for-me indeed
υἱόν, ταύτῃ δ’ ἄνδρα τοῖς τῆς πατρίδος τείχεσιν ἰδεῖν
a-son for-her and a-husband the of-the fatherland walls to-see
ἀντικαθήμενον. ὃ δ’ ἔστι τοῖς ἄλλοις ἀτυχίας πάσης καὶ
besieging what and is for-the others of-misfortune all and
κακοπραγίας παραμύθιον, εὔχεσθαι θεοῖς, ἡμῖν ἀπορώτατον
of-adversity consolation to-pray to-gods for-us most-impossible
γέγονεν. οὐ γὰρ οἷόν τε καὶ τῇ πατρίδι νίκην ἅμα καὶ
has-become not for possible — both for-the fatherland victory at-once and
σοὶ σωτηρίαν αἰτεῖσθαι παρὰ τῶν θεῶν, ἀλλ’ ἅ τις
for-you safety to-ask from the gods but what any
ἂν ἡμῖν καταράσαιτο τῶν ἐχθρῶν, ταῦτα ταῖς ἡμετέραις
— on-us might-call-down of-the enemies these-things in-the our
ἔνεστιν εὐχαῖς. ἀνάγκη γὰρ ἢ τῆς πατρίδος ἢ σοῦ
are prayers necessity-is for either the fatherland or you
στέρεσθαι γυναικὶ σῇ καὶ τέκνοις. ἐγὼ δ’ οὐ περιμενῶ
to-be-deprived-of for-wife your and children I but not will-wait
ταύτην μοι διαιτῆσαι τὴν τύχην ζώσῃ τὸν πόλεμον, ἀλλ’
this for-me to-decide the fortune while-alive the war but
εἰ μή σε πείσαιμι φιλίαν καὶ ὁμόνοιαν ἀντὶ διαφορᾶς
if not you I-should-persuade friendship and concord instead-of discord
καὶ κακῶν θέμενον ἀμφοτέρων εὐεργέτην γενέσθαι
and evils having-made of-both benefactor to-become

μᾶλλον ἢ λυμεῶνα τῶν ἑτέρων, οὕτω διανοοῦ καὶ
rather than destroyer of-the other so make-up-your-mind and
παρασκεύαζε σεαυτὸν ὡς τῇ πατρίδι μὴ προσμῖξαι
prepare yourself as with-the fatherland not to-engage
δυνάμενος πρὶν ἢ νεκρὰν ὑπερβῆναι τὴν τεκοῦσαν. οὐ
being-able before than dead to-step-over the having-borne-you not
γὰρ ἐκείνην με δεῖ τὴν ἡμέραν ἀναμένειν ἐν ᾗ
for that me it-is-needful the day to-await in which
τὸν υἱὸν ἐπόψομαι θριαμβευόμενον ὑπὸ τῶν πολιτῶν ἢ
the son I-shall-behold led-in-triumph by the citizens or
θριαμβεύοντα κατὰ τῆς πατρίδος. εἰ μὲν οὖν ἀξιῶ σε τὴν
triumphing over the fatherland if indeed then I-ask you the
πατρίδα σῶσαι Οὐολούσκους ἀπολέσαντα, χαλεπή σοι
fatherland to-save Volscians having-destroyed hard for-you
καὶ δυσδιαίτητος, ὦ παῖ, πρόκειται σκέψις· οὔτε γὰρ
and difficult-to-decide O son lies-before the-consideration neither for
διαφθεῖραι τοὺς πολίτας καλόν, οὔτε τοὺς πεπιστευκότας
to-destroy the citizens honorable nor the(-men) having-trusted(-you)
προδοῦναι δίκαιον· νῦν δ' ἀπαλλαγὴν κακῶν αἰτούμεθα,
to-betray just now but release from-evils we-ask
σωτήριον μὲν ἀμφοτέροις ὁμοίως, ἔνδοξον δὲ καὶ καλὴν
saving indeed for-both alike glorious but and honorable
μᾶλλον Οὐολούσκοις, ὅτι τῷ κρατεῖν δόξουσι διδόναι
more for-Volscians because by-the to-prevail they-will-seem to-give
τὰ μέγιστα τῶν ἀγαθῶν, οὐχ ἧττον λαμβάνοντες, εἰρήνην
the greatest of-the goods not less receiving peace
καὶ φιλίαν, ὧν μάλιστα μὲν αἴτιος ἔσῃ γινομένων,
and friendship of-which most indeed the-cause you-will-be coming-about
μὴ γινομένων δὲ μόνος αἰτίαν ἕξεις παρ' ἀμφοτέροις.
not coming-about and alone the-blame you-will-have with both
ἄδηλος δ' ὢν ὁ πόλεμος τοῦτ' ἔχει πρόδηλον, ὅτι σοι
uncertain and being the war this has evident that for-you

νικῶντι μὲν ἀλάστορι τῆς πατρίδος εἶναι περίεστιν,
conquering indeed avenging-demon of-the fatherland to-be remains
ἡττώμενος δὲ δόξεις ὑπ᾽ ὀργῆς εὐεργέταις ἀνδράσι καὶ
defeated and you-will-seem from anger to-benefactors men and
φίλοις τῶν μεγίστων συμφορῶν αἴτιος γεγονέναι.”
friends of-the greatest calamities the-cause to-have-been
ταῦτα τῆς Οὐολουμνίας λεγούσης ὁ Μάρκιος ἠκροᾶτο 36
these-things — Volumnia saying — Marcius listened
μηδὲν ἀποκρινόμενος. ἐπεὶ δὲ καὶ παυσαμένης εἱστήκει
nothing answering when and also she-having-ceased he-stood
σιωπῶν πολὺν χρόνον, αὖθις ἡ Οὐολουμνία· “τί σιγᾷς,”
silent long time again — Volumnia why are-you-silent
εἶπεν, “ὦ παῖ; πότερον ὀργῇ καὶ μνησικακίᾳ πάντα
said O son whether to-anger and resentment everything
συγχωρεῖν καλόν, οὐ καλὸν δὲ μητρὶ χαρίσασθαι δεομένῃ
to-concede honorable not honorable but to-a-mother to-grant-a-favor asking
περὶ τηλικούτων; ἢ τὸ μεμνῆσθαι πεπονθότα κακῶς ἀνδρὶ
about such-great-things or the to-remember having-suffered badly for-a-man
μεγάλῳ προσήκει, τὸ δ᾽ εὐεργεσίας, αἷς εὐεργετοῦνται
great is-fitting the but benefits with-which are-benefited
παῖδες ὑπὸ τῶν τεκόντων, σέβεσθαι καὶ τιμᾶν οὐκ ἀνδρὸς
children by the parents to-revere and to-honor not of-a-man
ἔργον ἐστὶ μεγάλου καὶ ἀγαθοῦ; καὶ μὴν οὐδενὶ μᾶλλον
the-work is great and good and indeed to-no-one more
ἔπρεπε τηρεῖν χάριν ὡς σοί, πικρῶς οὕτως ἀχαριστίαν
was-fitting to-keep gratitude than to-you bitterly so ingratitude
ἐπεξιόντι. καίτοι παρὰ τῆς πατρίδος ἤδη μεγάλας δίκας
punishing and-yet from the fatherland already great penalties
ἀπείληφας, τῇ μητρὶ δ᾽ οὐδεμίαν χάριν ἀποδέδωκας. ἦν
you-have-exacted to-the mother but no favor you-have-rendered it-was
μὲν οὖν ὁσιώτατον ἄνευ τινος ἀνάγκης τυχεῖν με παρὰ
indeed then most-holy without any compulsion to-obtain me from

σοῦ δεομένην οὕτω καλῶν καὶ δικαίων· μὴ πείθουσα δὲ
you begging so honorable and just-things not persuading and
τί φείδομαι τῆς ἐσχάτης ἐλπίδος;" καὶ ταῦτ' εἰποῦσα
why do-I-spare the last hope and these-things having-said
προσπίπτει τοῖς ποσὶν αὐτοῦ μετὰ τῆς γυναικὸς ἅμα καὶ
she-falls-at the feet his with the wife at-once and
τῶν τέκνων. ὁ δὲ Μάρκιος ἀναβοήσας· "οἷα εἴργασαί με,
the children — and Marcius having-cried-out what have-you-done to-me
ὦ μῆτερ," ἐξανίστησιν αὐτήν, καὶ τὴν δεξιὰν πιέσας
O mother raises her and the right-hand having-pressed
σφόδρα· "νενίκηκας," εἶπεν, "εὐτυχῆ μὲν τῇ πατρίδι
hard you-have-conquered he-said fortunate indeed for-the fatherland
νίκην, ἐμοὶ δ' ὀλέθριον· ἄπειμι γὰρ ὑπὸ σοῦ μόνης
a-victory for-me but ruinous I-go-away for by you alone
ἡττώμενος." τοῦτο δ' εἰπών, καὶ βραχέα τῇ μητρὶ
defeated this and having-said and briefly with-the mother
καὶ τῇ γυναικὶ διαλεχθεὶς ἰδίᾳ, τὰς μὲν ἀπέπεμψεν εἰς
and the wife having-conversed privately them indeed he-sent-away to
Ῥώμην πάλιν αὐτὰς δεομένας, τῆς δὲ νυκτὸς παρελθούσης
Rome again themselves asking the and night having-passed
ἀπήγαγεν Οὐολούσκους, οὐ τὸν αὐτὸν τρόπον οὐδ' ὁμοίως
he-led-away Volscians not the same way nor alike
διακειμένους ἅπαντας. οἱ μὲν γὰρ ἐμέμφοντο καὶ τὸν
disposed all the(-ones) indeed for blamed both the
ἄνδρα καὶ τὴν πρᾶξιν, οἱ δὲ οὐδέτερα, πρὸς διάλυσιν
man and the deed the(-others) but neither toward settlement
καὶ εἰρήνην οἰκείως ἔχοντες, ἔνιοι δὲ δυσχεραίνοντες τὰ
and peace well-disposed being some and being-displeased-with the
πραττόμενα τὸν Μάρκιον ὅμως οὐ πονηρὸν ἐνόμιζον,
being-done — Marcius nevertheless not wicked thought
ἀλλὰ συγγνωστὸν ἐπικλασθέντα τηλικαύταις ἀνάγκαις.
but pardonable having-been-moved by-so-great necessities

ἀντεῖπε δ᾽ οὐδείς, ἀλλὰ πάντες εἵποντο, τὴν ἀρετὴν
opposed but no-one but all followed the virtue
μᾶλλον αὐτοῦ θαυμάζοντες ἢ τὴν ἐξουσίαν.
more his admiring than the authority

37–39 · THE DEATH OF MARCIUS

Rome rejoiced and at the women's request built a temple of Women's Fortune, whose statue was said to have spoken; Plutarch doubts that a lifeless statue can speak, though gods can do what men cannot. Back at Antium, Tullus, fearing his defense, had his partisans kill Marcius in the assembly. The Volscians buried him with honor; the Romans let the women mourn him ten months. Without him the Volscians quarreled with the Aequians, were beaten by Rome, and became its subjects.

ὁ δὲ Ῥωμαίων δῆμος ἐν ὅσῳ φόβῳ καὶ κινδύνῳ 37
the and of-Romans people in how-great fear and danger
καθειστήκει τοῦ πολέμου παρόντος, αἴσθησιν παρέσχε
it-had-stood the war being-present perception gave
μᾶλλον λυθέντος. ἅμα γὰρ ἀφεώρων τοὺς Οὐολούσκους
more having-been-dissolved at-once for they-saw the Volscians
ἀναζευγνύοντας οἱ περὶ τὰ τείχη, καὶ πᾶν εὐθὺς ἱερὸν
breaking-camp the(-men) on the walls and every at-once temple
ἀνεῴγει στεφανηφορούντων ὥσπερ ἐπὶ νίκῃ καὶ θυόντων.
was-opened of-men-wearing-garlands as for victory and sacrificing
μάλιστα δὲ τῇ περὶ τὰς γυναῖκας ἀγαπήσει καὶ τιμῇ
most and by-the toward the women affection and honor
τῆς τε βουλῆς τοῦ τε πλήθους ἅπαντος ἔνδηλος ἦν ἡ
of-the both senate of-the both multitude whole manifest was the
χαρὰ τῆς πόλεως, καὶ λεγόντων καὶ νομιζόντων γεγονέναι
joy of-the city both saying and thinking to-have-been
τῆς σωτηρίας περιφανῶς ἐκείνας αἰτίας. ψηφισαμένης
of-the salvation manifestly them the-cause having-voted

δὲ τῆς βουλῆς, ὅ τι ἂν αὑταῖς ἀξιώσωσι γενέσθαι
and the senate what ever — for-themselves they-should-ask to-be-done
πρὸς δόξαν ἢ χάριν, τοῦτο ποιῆσαι καὶ παρασχεῖν τοὺς
for glory or favor this to-do and to-provide the
ἄρχοντας, οὐδὲν ἠξίωσαν ἄλλο ἢ Τύχης γυναικείας
magistrates nothing they-asked other than of-Fortune womanly
ἱερὸν ἱδρύσασθαι, τὸ μὲν ἀνάλωμα συμβαλόμεναι παρ'
a-temple to-found the indeed expense contributing from
αὑτῶν, ἱερουργίας δὲ καὶ τιμάς, ὅσαι θεοῖς πρέπουσι,
themselves rites but and honors as-many-as to-gods are-fitting
δημοσίᾳ τῆς πόλεως ἀναλαβούσης. ἐπεὶ δὲ ἡ βουλὴ τὴν
publicly the city having-undertaken when and the senate the
μὲν φιλοτιμίαν ἐπῄνεσε, δημοσίαις δὲ δαπάναις ἐποιήσατο
indeed public-spirit praised at-public but expense made
τὸν νεὼν καὶ τὸ ἔδος, οὐδὲν ἧττον αὐταὶ χρήματα
the temple and the image nothing less themselves money
συνεισενεγκοῦσαι δεύτερον ἄγαλμα κατεσκεύασαν, ὃ δὴ
having-contributed a-second statue they-furnished which indeed
καί φασι Ῥωμαῖοι καθιστάμενον ἐν τῷ ἱερῷ φθέγξασθαί
also say Romans being-set-up in the temple to-have-uttered
τι τοιοῦτον· "θεοφιλεῖ με θεσμῷ γυναῖκες δεδώκατε."
something such by-god-beloved me rite women you-have-given
38 ταύτην καὶ δὶς γενέσθαι τὴν φωνὴν μυθολογοῦσιν,
this and twice to-have-come the voice they-fable
ἀγενήτοις ὅμοια καὶ χαλεπὰ πεισθῆναι πείθοντες ἡμᾶς.
to-unhappened-things like and hard to-be-believed persuading us
ἰδίοντα μὲν γὰρ ἀγάλματα φανῆναι καὶ δακρυρροοῦντα
sweating indeed for statues to-have-appeared and shedding-tears
καί τινας μεθιέντα νοτίδας αἱματώδεις οὐκ ἀδύνατόν ἐστι·
and some emitting moisture bloody not impossible it-is
καὶ γὰρ ξύλα καὶ λίθοι πολλάκις μὲν εὐρῶτα συνάγουσι
both for timbers and stones often indeed mold gather

γόνιμον ὑγρότητος, πολλὰς δὲ χροιὰς ἀνιᾶσιν ἐξ ἑαυτῶν,
productive of-moisture many and colors send-out from themselves
καὶ δέχονται βαφὰς ἐκ τοῦ περιέχοντος, οἷς ἔνια
and receive tints from the surrounding by-which some-things
σημαίνειν τὸ δαιμόνιον οὐδὲν ἂν δόξειε κωλύειν. δυνατὸν
to-signify the divinity nothing — would-seem to-hinder possible
δὲ καὶ μυγμῷ καὶ στεναγμῷ ψόφον ὅμοιον ἐκβάλλειν
and also to-a-moan and to-a-groan a-noise similar to-emit
ἀγάλματα κατὰ ῥῆξιν ἢ διάστασιν μορίων βιαιοτέραν ἐν
statues by a-fracture or separation of-parts more-violent in
βάθει γενομένην· ἔναρθρον δὲ φωνὴν καὶ διάλεκτον οὕτω
depth happening articulate but voice and speech so
σαφῆ καὶ περιττὴν καὶ ἀρτίστομον ἐν ἀψύχῳ γενέσθαι
clear and abundant and well-formed in a-lifeless-thing to-be-produced
παντάπασιν ἀμήχανον, εἰ μηδὲ τὴν ψυχὴν καὶ τὸν θεὸν
altogether impossible if not-even the soul and the god
ἄνευ σώματος ὀργανικοῦ καὶ διηρμοσμένου μέρεσι λογικοῖς
without body organic and fitted with-parts vocal
γέγονεν ἠχεῖν καὶ διαλέγεσθαι. ὅπου δ' ἡμᾶς ἡ ἱστορία
has-been-able to-sound and to-converse where but us the history
πολλοῖς ἀποβιάζεται καὶ πιθανοῖς μάρτυσιν, ἀνόμοιον
with-many forces and credible witnesses unlike
αἰσθήσει πάθος ἐγγινόμενον τῷ φανταστικῷ τῆς ψυχῆς
to-sense an-experience arising in-the imaginative of-the soul
συναναπείθει τὸ δόξαν, ὥσπερ ἐν ὕπνοις ἀκούειν οὐκ
persuades the seeming as in sleep to-hear not
ἀκούοντες καὶ βλέπειν οὐ βλέποντες δοκοῦμεν. οὐ μὴν ἀλλὰ
hearing and to-see not seeing we-think not indeed but
τοῖς ὑπ' εὐνοίας καὶ φιλίας πρὸς τὸν θεὸν ἄγαν ἐμπαθῶς
to-the(-men) from goodwill and love toward the god too passionately
ἔχουσι, καὶ μηδὲν ἀθετεῖν μηδ' ἀναίνεσθαι τῶν τοιούτων
disposed and nothing to-reject nor to-deny of-the such-things

δυναμένοις, μέγα πρὸς πίστιν ἐστὶ τὸ θαυμάσιον καὶ μὴ
being-able great toward belief is the wonderful and not
καθ' ἡμᾶς τῆς τοῦ θεοῦ δυνάμεως. οὐδὲν γὰρ οὐδαμῶς
like us of-the of-the god power in-nothing for in-any-way
ἀνθρωπίνῳ προσέοικεν οὔτε φύσιν οὔτε κίνησιν οὔτε τέχνην
to-the-human it-resembles either in-nature or in-motion or art
οὔτ' ἰσχύν, οὐδ' εἴ τι ποιεῖ τῶν ἡμῖν ἀποιήτων καὶ
or strength nor if anything he-does of-the for-us impossible and
μηχανᾶται τῶν ἀμηχάνων, παράλογόν ἐστιν, ἀλλὰ μᾶλλον
contrives of-the impracticable unreasonable is-it but rather
ἐν πᾶσι διαφέρων πολὺ μάλιστα τοῖς ἔργοις ἀνόμοιός ἐστι
in all-things differing much most in-the works unlike he-is
καὶ παρηλλαγμένος. ἀλλὰ τῶν μὲν θείων τὰ πολλά,
and different but of-the indeed divine-things the most
καθ' Ἡράκλειτον, ἀπιστίῃ διαφυγγάνει μὴ γινώσκεσθαι.
according-to Heraclitus through-unbelief escape not to-be-known
39 τὸν δὲ Μάρκιον, ὡς ἐπανῆλθεν εἰς τὸ Ἄντιον ἀπὸ τῆς
— and Marcius when he-returned to — Antium from the
στρατείας, μισῶν πάλαι καὶ βαρυνόμενος διὰ φθόνον
campaign hating of-old and resenting because-of envy
ὁ Τύλλος ἐπεβούλευεν ἀνελεῖν εὐθύς, ὡς εἰ νῦν διαφύγοι,
— Tullus plotted to-kill at-once since if now he-should-escape
λαβὴν ἑτέραν οὐ παρέξοντα. πολλοὺς δὲ συστήσας καὶ
a-hold another not going-to-give many and having-combined and
παρασκευάσας ἐπ' αὐτὸν ἐκέλευσεν εὐθύνας ὑποσχεῖν
having-prepared against him he-ordered an-account to-render
τοῖς Οὐολούσκοις, ἀποδόντα τὴν ἀρχήν. ὁ δὲ φοβούμενος
to-the Volscians having-given-up the command he and fearing
ἰδιώτης γενέσθαι τοῦ Τύλλου στρατηγοῦντος καὶ
a-private-citizen to-become — Tullus being-general and
δυναμένου μέγιστον ἐν τοῖς ἑαυτοῦ πολίταις, ἔλεγε τὴν
having-power greatest among the his-own citizens said the

ἀρχὴν ἀποδώσειν Οὐολούσκοις, ἐὰν κελεύωσι, καὶ γὰρ
command to-be-going-to-give-up to-Volscians if they-order and for
λαβεῖν πάντων κελευόντων, εὐθύνας δὲ διδόναι καὶ λόγον
to-have-taken-it all ordering an-account and to-give and reckoning
οὐδὲ νῦν παραιτεῖσθαι τοῖς βουλομένοις Ἀντιατῶν.
not-even now to-refuse to-the(-men) wishing of-Antiates
γενομένης οὖν ἐκκλησίας, οἱ παρεσκευασμένοι τῶν
having-been-held then an-assembly the(-men) prepared of-the
δημαγωγῶν ἀνιστάμενοι παρώξυνον τὸ πλῆθος. ἐπεὶ δ'
demagogues rising-up incited the multitude when but
ἀναστάντι τῷ Μαρκίῳ τὸ μὲν ἄγαν θορυβοῦν ὑπ' αἰδοῦς
having-risen — to-Marcius the indeed too uproarious from respect
ἐνεδίδου καὶ παρεῖχεν ἀδεῶς λέγειν, οἱ δὲ βέλτιστοι καὶ
gave-way and allowed fearlessly to-speak the but best and
μάλιστα χαίροντες εἰρήνῃ τῶν Ἀντιατῶν ἐγένοντο φανεροὶ
most rejoicing-in peace of-the Antiates became manifest
μετ' εὐνοίας ἀκουσόμενοι καὶ δικαίως κρινοῦντες, ἔδεισεν
with goodwill going-to-listen and justly going-to-judge feared
ὁ Τύλλος τὴν ἀπολογίαν τοῦ ἀνδρός. ἦν γὰρ ἐν
— Tullus the defense of-the man he-was for among
τοῖς μάλιστα δεινὸς εἰπεῖν, καὶ τὰ πρόσθεν ἔργα μείζονα
the most clever to-speak and the earlier deeds greater
τὴν χάριν εἶχε τῆς ὕστερον αἰτίας, μᾶλλον δ' ὅλως τὸ
the gratitude held than-the later charge rather but wholly the
ἔγκλημα τοῦ μεγέθους τῆς χάριτος ἦν μαρτύριον. οὐ γὰρ
charge of-the greatness of-the gratitude was a-testimony not for
ἂν ἔδοξαν ἀδικεῖσθαι τὴν Ῥώμην ὑποχείριον μὴ
— they-would-have-seemed to-be-wronged — Rome subject not
λαβόντες, εἰ μὴ τοῦ λαβεῖν ἐγγὺς ἐγένοντο διὰ Μάρκιον.
having-taken if not the to-take near they-came through Marcius
οὐκέτ' οὖν ἔδοξε διαμέλλειν οὐδὲ πειρᾶσθαι τῶν
no-longer then it-seemed-good to-delay nor to-test the

πολλῶν, ἀλλ' ἐγκραγόντες οἱ θρασύτατοι τῶν συνεστώτων
many but having-shouted-out the boldest of-the conspirators
ὡς οὐκ ἔστιν ἀκουστέον οὐδὲ περιοπτέον Οὐολούσκοις τὸν
that not it-is to-be-listened-to nor to-be-allowed for-Volscians the
προδότην τυραννοῦντα καὶ μὴ κατατιθέμενον τὴν ἀρχήν,
traitor playing-the-tyrant and not laying-down the command
προσπεσόντες ἀθρόοι διέφθειραν αὐτόν, καὶ προσήμυνεν
having-fallen-on-him in-a-body killed him and helped
οὐδεὶς τῶν παρόντων. ὅτι δὲ τοῖς πλείστοις οὐκ
no-one of-the(-men) present that but by-the most not
ἐπράχθη κατὰ γνώμην, ἐδήλωσαν αὐτίκα συνδραμόντες
it-was-done according-to their-mind they-showed at-once having-run-together
ἐκ τῶν πόλεων ἐπὶ τὸ σῶμα καὶ θάψαντες ἐντίμως καὶ
from the cities to the body and having-buried-it with-honor and
τὸν τάφον ὅπλοις καὶ λαφύροις κοσμήσαντες ὡς ἀριστέως
the tomb with-arms and spoils having-adorned as of-a-hero
καὶ στρατηγοῦ. Ῥωμαῖοι δὲ τὴν τελευτὴν πυθόμενοι, ἄλλο
and general Romans and the death having-learned other
μὲν οὐδὲν ἀπεδείξαντο σημεῖον οὔτε τιμῆς οὔτ' ὀργῆς
indeed no displayed sign either of-honor or of-anger
πρὸς αὐτόν, αἰτησαμέναις δὲ ταῖς γυναιξὶν ἐπέτρεψαν
toward him having-asked but the women they-permitted
ἀποπενθῆσαι δέκα μῆνας, ὥσπερ ἔθος ἦν ἑκάστῃ πατέρα
to-mourn ten months as custom was for-each a-father
καὶ παῖδα καὶ ἀδελφόν. οὗτος γὰρ ἦν ὅρος τοῦ
and son and brother this for was the-limit of-the
μακροτάτου πένθους, ὃν ὥρισε Νομᾶς Πομπίλιος, ὡς
longest mourning which fixed Numa Pompilius as
ἐν τοῖς περὶ ἐκείνου γεγραμμένοις δεδήλωται. τὸν δὲ
in the-things about him written has-been-shown — and
Μάρκιον εὐθὺς ἐπόθει τὰ Οὐολούσκων πράγματα. πρῶτον
Marcius at-once longed-for the of-Volscians affairs first

μὲν γὰρ στασιάσαντες πρὸς Αἰκανοὺς συμμάχους καὶ
indeed for having-quarreled with Aequians allies and
φίλους ὄντας ὑπὲρ ἡγεμονίας, ἄχρι τραυμάτων καὶ φόνων
friends being for leadership as-far-as wounds and slaughters
προῆλθον· ἔπειτα μάχῃ κρατηθέντες ὑπὸ Ῥωμαίων, ἐν
they-went then in-battle having-been-overcome by Romans in
ᾗ Τύλλος ἀπέθανε καὶ τὸ ἀνθοῦν μάλιστα τῆς δυνάμεως
which Tullus died and the flower most of-the force
διεφθάρη, διαλύσεις αἰσχίστας ἠγάπησαν ὑπήκοοι γενόμενοι,
was-destroyed settlements most-shameful they-accepted subjects having-become
καὶ τὸ προσταττόμενον αὐτοῖς ποιήσειν ὁμολογήσαντες.
and the ordered to-them to-be-going-to-do having-agreed

PLUTARCH

ΑΛΚΙΒΙΑΔΟΥ ΚΑΙ ΚΟΡΙΟΛΑΝΟΥ ΣΥΓΚΡΙΣΙΣ

Comparison of Alcibiades and Coriolanus

As generals they are even, unless Alcibiades ranks higher for winning on land and sea. Alcibiades' wanton courting of the many disgusted the sensible, Rome's people hated Marcius' graceless arrogance, and the flatterer is less to blame. Both used deceit, Marcius from anger. Alcibiades helped Athens when it repented; Marcius, deaf to envoys and priests, yielded only to his mother, dishonoring Rome and betraying the Volscians, who killed him unjustly but with cause. Charm kept Alcibiades loved; pride left Marcius admired, not loved, though in temperance and contempt for money he ranks with the best Greeks.

ἐκκειμένων δὲ τῶν πράξεων, ὅσας ἡγούμεθα λόγου 1
having-been-set-forth and the deeds as-many-as we-think of-account
καὶ μνήμης ἀξίας εἶναι, τὰς μὲν πολεμικὰς ἐπ᾽ οὐδέτερον
and of-memory worthy to-be the indeed warlike to neither
ποιούσας ῥοπὴν μεγάλην ὁρᾶν ἔστιν. ὁμαλῶς γὰρ
making preponderance great to-see it-is evenly for
ἀμφότεροι πολλὰ μὲν στρατιωτικῆς ἔργα τόλμης καὶ
both many indeed of-military deeds daring and
ἀνδρείας, πολλὰ δὲ καὶ τέχνης καὶ προνοίας στρατηγοῦντες
courage many and also of-skill and foresight commanding
ἐπεδείξαντο, πλὴν εἰ μή τις θέλοι τὸν Ἀλκιβιάδην,
displayed except if not anyone should-wish — Alcibiades
ὅτι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐν πολλοῖς ἀγῶσι
because both on land and on sea in many contests
νικῶν καὶ κατορθῶν διετέλεσεν, ἀποφαίνειν τελειότερον
conquering and succeeding he-continued to-declare more-perfect
στρατηγόν· ἐπεὶ τό γε παρόντας καὶ ἄρχοντας ὀρθοῦν
general since the at-least being-present and commanding to-set-right
ἀεὶ προδήλως τὰ οἰκεῖα καὶ προδηλότερον αὖ πάλιν
always manifestly the own-affairs and more-manifestly in-turn again
βλάπτειν μεθισταμένους ἀμφοτέροις ὑπῆρξε. πολιτείαν δὲ
to-harm having-gone-over for-both happened policy and

τὴν μὲν Ἀλκιβιάδου τὴν ἄγαν λαμυρὰν καὶ τὸ μὴ καθαρεῦον
the indeed of-Alcibiades the too wanton and the not clean
ἀναγωγίας καὶ βωμολοχίας ἐν τῷ πρὸς χάριν ὁμιλεῖν
of-vulgarity and buffoonery in the for favor to-associate
τοῖς πολλοῖς οἱ σώφρονες ἐβδελύττοντο, τὴν δὲ Μαρκίου
with-the many the sensible loathed the but of-Marcius
παντάπασιν ἄχαριν καὶ ὑπερήφανον καὶ ὀλιγαρχικὴν
altogether graceless and arrogant and oligarchic
γενομένην ἐμίσησεν ὁ Ῥωμαίων δῆμος. οὐδετέραν μὲν οὖν
having-been hated the of-Romans people neither indeed then
ἐπαινετέον· ὁ δὲ δημαγωγῶν καὶ χαριζόμενος τῶν ὅπως
must-be-praised the but demagogue and courting-favor than-those so-that
οὐ δόξουσι δημαγωγεῖν προπηλακιζόντων τοὺς πολλοὺς
not they-may-seem to-be-demagogues insulting the many
ἀμεμπτότερος· αἰσχρὸν μὲν γὰρ τὸ κολακεύειν δῆμον ἐπὶ
more-blameless shameful indeed for the to-flatter a-people for
τῷ δύνασθαι, τὸ δ' ἰσχύειν ἐκ τοῦ φοβερὸν εἶναι καὶ
the to-have-power the but to-be-strong from the fearsome to-be and
κακοῦν καὶ πιέζειν πρὸς τῷ αἰσχρῷ καὶ ἄδικόν ἐστιν.
to-harm and to-oppress besides the shameful also unjust is
2 ὅτι τοίνυν ἁπλοῦς τις ὁ Μάρκιος ὑπείληπται τῷ
that then simple someone — Marcius is-supposed in-the
τρόπῳ γεγονέναι καὶ αὐθέκαστος, ὁ δὲ Ἀλκιβιάδης
character to-have-been and straightforward — and Alcibiades
πανοῦργος ἐν τῇ πολιτείᾳ καὶ ἀναλήθης, οὐκ ἄδηλόν ἐστι.
unscrupulous in the politics and untruthful not unclear it-is
μάλιστα δὲ κατηγοροῦσιν αὐτοῦ κακοήθειαν καὶ ἀπάτην,
most and they-accuse him malice and deceit
ᾗ τοὺς Λακεδαιμονίων πρέσβεις παρακρουσάμενος, ὡς
by-which the of-Lacedaemonians envoys having-deceived as
Θουκυδίδης ἱστόρηκε, τὴν εἰρήνην ἔλυσεν. ἀλλ' αὕτη μὲν ἡ
Thucydides has-related the peace he-broke but this indeed the

πολιτεία, καίπερ εἰς πόλεμον αὖθις ἐμβαλοῦσα τὴν πόλιν,
policy although into war again having-thrown the city
ἰσχυρὰν ἐποίησε καὶ φοβεράν, τῆς Μαντινέων καὶ Ἀργείων
strong made and formidable the of-Mantineans and Argives
συμμαχίας δι' Ἀλκιβιάδου προσγενομένης· Μάρκιος δ'
alliance through Alcibiades having-been-added Marcius and
ὅτι μὲν ἀπάτῃ καὶ αὐτὸς ἐξεπολέμωσε Ῥωμαίους καὶ
that indeed by-deceit also himself stirred-to-war Romans and
Οὐολούσκους διαβαλὼν ψευδῶς τοὺς ἥκοντας ἐπὶ τὴν
Volscians having-slandered falsely those having-come to the
θέαν, Διονύσιος ἱστόρηκεν· ἡ δ' αἰτία φαυλότερον ποιεῖ
spectacle Dionysius has-related the but cause more-base makes
τὸ ἔργον. οὐ γὰρ ἐκ φιλονεικίας οὐδὲ πολιτικῆς μάχης
the deed not for from rivalry nor political fight
ἢ ἁμίλλης, ὡς ἐκεῖνος, ἀλλ' ὀργῇ χαριζόμενος, παρ'
or contest as he but to-anger gratifying from
ἧς οὐδένα φησὶν ὁ Δίων ἀπολαβεῖν χάριν, πολλὰ τῆς
which no-one says — Dion to-have-received thanks many —
Ἰταλίας μέρη συνετάραξε καὶ πολλὰς πόλεις οὐδὲν
of-Italy parts he-threw-into-confusion and many cities in-nothing
ἀδικούσας τῷ πρὸς τὴν πατρίδα θυμῷ παρανάλωσε. καίτοι
wronging to-the toward the fatherland rage he-sacrificed-besides and-yet
καὶ Ἀλκιβιάδης δι' ὀργὴν μεγάλων αἴτιος συμφορῶν
also Alcibiades because-of anger of-great the-cause of-disasters
κατέστη τοῖς πολίταις. ἀλλ' ὅτε πρῶτον ἔγνω
became for-the citizens but when first he-knew-them
μεταμελομένους, εὐγνωμόνησε, καὶ πάλιν ἀπορριφεὶς οὐκ
repenting he-was-considerate and again having-been-cast-off not
ἐφήσθη τοῖς στρατηγοῖς ἁμαρτάνουσιν οὐδὲ παρεῖδε κακῶς
he-rejoiced-at the generals erring nor overlooked badly
βουλευομένους καὶ κινδυνεύοντας, ἀλλ', ὅπερ Ἀριστείδης
deliberating and being-in-danger but what Aristides

ἐπαινεῖται μάλιστα πράξας πρὸς Θεμιστοκλέα, τοῦτ'
is-praised most having-done toward Themistocles this
ἐποίησε, πρὸς τοὺς τότ' ἄρχοντας οὐ φίλους ὄντας ἐλθὼν
he-did toward the then commanders not friends being having-come
καὶ φράσας τὸ δέον καὶ διδάξας. Μάρκιος δὲ πρῶτον
and having-told the needful and having-taught Marcius but first
μὲν ὅλην κακῶς ἐποίει τὴν πόλιν οὐχ ὑφ' ὅλης παθών,
indeed whole badly treated the city not by whole having-suffered
ἀλλὰ τοῦ βελτίστου καὶ κρατίστου μέρους συναδικηθέντος
but of-the best and strongest part having-been-wronged-with
αὐτῷ καὶ συναλγήσαντος· ἔπειτα πολλαῖς πρεσβείαις καὶ
him and having-grieved-with then by-many embassies and
δεήσεσι μίαν ἰωμένων ὀργὴν καὶ ἄγνοιαν οὐ τεγχθεὶς
entreaties one healing anger and ignorance not having-been-softened
οὐδ' εἴξας ἐδήλωσεν ἐπὶ τῷ διαφθεῖραι τὴν πατρίδα
nor having-yielded he-showed for the to-destroy the fatherland
καὶ καταβαλεῖν, οὐχ ὅπως ἀπολάβῃ καὶ κατέλθῃ, βαρὺν
and to-overthrow not that he-might-recover-it and return heavy
πόλεμον καὶ ἄσπονδον ἐπανῃρημένος. τούτῳ δὲ φήσει
a-war and implacable having-taken-up in-this and will-say
τις διαφέρειν· Ἀλκιβιάδην μὲν γὰρ ἐπιβουλευόμενον ὑπὸ
someone to-differ Alcibiades indeed for being-plotted-against by
Σπαρτιατῶν διὰ δέος ἅμα καὶ μῖσος αὐτῶν μεταστῆναι
Spartans through fear at-once and hatred of-them to-have-gone-over
πρὸς Ἀθηναίους, Μαρκίῳ δὲ πάντα δίκαια ποιοῦντας
to Athenians to-Marcius but all just-things doing
Οὐολούσκους οὐ καλῶς εἶχεν ἐγκαταλιπεῖν. καὶ γὰρ ἡγεμὼν
Volscians not well it-was to-abandon and for leader
ἀποδέδεικτο καὶ μεγίστην πίστιν εἶχε μετὰ δυνάμεως,
he-had-been-appointed and greatest trust had with power
οὐχ ὡς ἐκεῖνος, ἀποχρωμένων μᾶλλον ἢ χρωμένων αὐτῷ
not as he abusing rather than using him

Λακεδαιμονίων, ἐν τῇ πόλει περιϊὼν καὶ κυλινδούμενος
Lacedaemonians in the city going-about and rolling-about
αὖθις ἐν τῷ στρατοπέδῳ τέλος εἰς τὰς Τισαφέρνου χεῖρας
again in the camp finally into the of-Tissaphernes hands
ἀφῆκεν αὑτόν· εἰ μὴ νὴ Δία μὴ φθαρῆναι τὰς Ἀθήνας
gave-up himself if not by Zeus not to-be-destroyed — Athens
παντάπασι ποθῶν κατελθεῖν ἐθεράπευε.
altogether longing to-return he-courted
χρήματα τοίνυν ὁ μὲν Ἀλκιβιάδης καὶ λαβεῖν οὐκ 3
money then — indeed Alcibiades both to-have-taken not
εὖ πολλάκις ἐκ δωροδοκιῶν καὶ διαθέσθαι κακῶς εἰς
well often from bribes and to-have-spent badly on
τρυφὴν καὶ ἀκολασίαν ἱστόρηται· Μάρκιον δὲ σὺν τιμῇ
luxury and licentiousness is-recorded Marcius but with honor
διδόντες οἱ στρατηγοὶ λαβεῖν οὐκ ἔπεισαν. διὸ καὶ
giving the generals to-take not persuaded wherefore also
μάλιστα τοῖς πολλοῖς ἐπαχθὴς ἦν ἐν ταῖς περὶ χρεῶν
most to-the many offensive he-was in the about debts
διαφοραῖς πρὸς τὸν δῆμον, ὡς οὐκ ἐπὶ κέρδεσιν, ἀλλὰ
disputes with the people as not for gains but
δι᾽ ὕβριν καὶ περιφροσύνην τοῖς πένησιν ἐπηρεάζων.
through insolence and contempt the poor abusing
Ἀντίπατρος μὲν οὖν ἐν ἐπιστολῇ τινι γράφων περὶ τῆς
Antipater indeed then in a-letter some writing about the
Ἀριστοτέλους τοῦ φιλοσόφου τελευτῆς, “πρὸς τοῖς ἄλλοις,”
of-Aristotle the philosopher death besides the other-things
φησίν, “ὁ ἀνὴρ καὶ τὸ πείθειν εἶχε·” τὰς δὲ Μαρκίου
says the man also the to-persuade had the but of-Marcius
πράξεις καὶ ἀρετὰς τοῦτο μὴ προσὸν ἐπαχθεῖς ἐποίησεν
deeds and virtues this not being-present offensive made
αὐτοῖς τοῖς εὖ παθοῦσι, τὸν ὄγκον αὐτοῦ καὶ
to-those-themselves the well having-been-treated the pomp his and

τὴν ἐρημίᾳ σύνοικον, ὡς Πλάτων εἶπεν, αὐθάδειαν μὴ
the with-solitude dwelling as Plato said self-will not
ὑπομείναντας. τοῦ δ' Ἀλκιβιάδου τοὐναντίον ἐπισταμένου
having-endured — and Alcibiades on-the-contrary knowing-how
χρῆσθαι τοῖς προστυγχάνουσιν οἰκείως, οὐδὲν θαυμαστὸν
to-treat those meeting-him familiarly nothing wonderful
ἐν οἷς κατώρθου τὴν δόξαν ἀνθεῖν μετ' εὐνοίας καὶ τιμῆς
in what he-succeeded the glory to-bloom with goodwill and honor
εὐημεροῦσαν, ὅπου καὶ τῶν ἁμαρτημάτων ἔνια πολλάκις
flourishing where even of-the errors some often
χάριν εἶχε καὶ ὥραν. ὅθεν οὗτος μὲν οὐ μικρὰ βλάψας
grace had and charm whence he indeed not small-things having-harmed
οὐδ' ὀλίγα τὴν πόλιν ὅμως ἀπεδείκνυτο πολλάκις ἡγεμὼν
nor few the city nevertheless was-appointed often leader
καὶ στρατηγός, ἐκεῖνος δὲ μετιὼν ἐπὶ πολλαῖς ἀριστείαις
and general he but seeking after many prizes-of-valor
καὶ ἀνδραγαθίαις ἀρχὴν προσήκουσαν ἐξέπεσεν. οὕτω τὸν
and brave-deeds office fitting fell-short so the
μὲν οὐδὲ πάσχοντες κακῶς ἐδύναντο μισεῖν οἱ πολῖται,
indeed not-even suffering badly could to-hate the citizens
τῷ δὲ περιῆν θαυμαζομένῳ μὴ φιλεῖσθαι.
the-other but it-befell being-admired not to-be-loved
4 καὶ γάρ τοι Μάρκιος μὲν οὐδὲν ἀπεδείξατο τῇ
and for surely Marcius indeed nothing displayed for-the
πόλει στρατηγῶν, ἀλλὰ τοῖς πολεμίοις κατὰ τῆς
city commanding but for-the enemies against the
πατρίδος· Ἀλκιβιάδου δὲ καὶ στρατευομένου πολλάκις
fatherland of-Alcibiades but both serving often
καὶ στρατηγοῦντος ἀπέλαυσαν οἱ Ἀθηναῖοι· καὶ παρὼν
and commanding enjoyed-the-benefit the Athenians and present
ἐκράτει τῶν ἐχθρῶν ὅσον ἐβούλετο, καὶ μὴ παρόντος
he-prevailed-over the enemies as-much-as he-wished and not present

ἴσχυσαν αἱ διαβολαί· Μάρκιος δὲ παρὼν ὑπὸ Ῥωμαίων
prevailed the slanders Marcius but present by Romans
κατεδικάσθη, παρόντα δὲ Οὐολοῦσκοι διέφθειραν, οὐ
was-condemned present but Volscians destroyed-him not
δικαίως μὲν οὐδ' ὁσίως, αἰτίαν δὲ τοῦ εὐλόγου παρέσχεν
justly indeed nor holily a-cause but of-the reasonable gave
αὐτός, ὅτι δημοσίᾳ τὰς διαλύσεις μὴ προσδεξάμενος,
himself because publicly the settlement not having-accepted
ἰδίᾳ δὲ πεισθεὶς ὑπὸ τῶν γυναικῶν οὐκ ἔλυσε τὴν
privately but having-been-persuaded by the women not he-ended the
ἔχθραν, ἀλλὰ τοῦ πολέμου μένοντος ἀπώλεσε τὸν καιρὸν
enmity but the war remaining he-lost the opportunity
καὶ διέφθειρε. πείσαντα γὰρ ἔδει τοὺς πεπιστευκότας
and destroyed-it having-persuaded for it-was-needful those having-trusted-him
ἀπελθεῖν, εἰ τοῦ πρὸς ἐκείνους δικαίου πλεῖστον ἐποιεῖτο
to-depart if for-the toward them justice most he-made
λόγον. εἰ δὲ μηδὲν ἐφρόντιζεν Οὐολούσκων, ἀλλὰ τὴν
account if but in-nothing he-cared-for Volscians but the
ὀργὴν ἐμπλῆσαι τὴν ἑαυτοῦ βουλόμενος ἐνῆγε τὸν
anger to-satisfy the his-own wishing pressed-on the
πόλεμον, εἶτ' ἔληξεν, οὐ διὰ τὴν μητέρα καλῶς εἶχε
war then stopped not because-of the mother well it-was
φείσασθαι τῆς πατρίδος, ἀλλὰ σὺν τῇ πατρίδι τῆς μητρός·
to-spare the fatherland but with the fatherland the mother
μέρος γὰρ ἦν καὶ ἡ μήτηρ καὶ ἡ γυνὴ τῆς πατρίδος ἣν
part for was both the mother and the wife of-the fatherland which
ἐπολιόρκει. τὸ δὲ δημοσίαις ἱκεσίαις καὶ δεήσει πρέσβεων
he-besieged the but to-public supplications and entreaty of-envoys
καὶ λιταῖς ἱερέων ἀπηνῶς χρησάμενον εἶτα χαρίσασθαι
and prayers of-priests harshly having-treated then to-grant
τῇ μητρὶ τὴν ἀναχώρησιν, οὐ τῆς μητρὸς ἦν τιμή, ἀλλ'
to-the mother the withdrawal not of-the mother was honor but

ἀτιμία τῆς πατρίδος, οἴκτῳ καὶ παραιτήσει διὰ μίαν
dishonor of-the fatherland by-pity and intercession because-of one
γυναῖκα σωζομένης, ὡς οὐκ ἀξίας σώζεσθαι δι᾽ αὑτήν.
woman being-saved as not worthy to-be-saved because-of itself
ἐπίφθονος γὰρ ἡ χάρις καὶ ὠμὴ καὶ ἀχάριστος ἀληθῶς καὶ
invidious for the favor and cruel and ungracious truly and
πρὸς οὐδετέρους ἔχουσα τὸ εὐγνῶμον· ἀνεχώρησε γὰρ μήτε
toward neither having the considerate he-withdrew for neither
πεισθεὶς ὑπὸ τῶν πολεμουμένων μήτε πείσας τοὺς
having-been-persuaded by those being-warred-on nor having-persuaded those
συμπολεμοῦντας. ὧν αἴτιον ἁπάντων τὸ ἀνομίλητον τοῦ
fighting-with-him of-which the-cause of-all the unsociable of-the
τρόπου καὶ λίαν ὑπερήφανον καὶ αὔθαδες, ὃ καθ᾽ αὑτὸ μὲν
character and too arrogant and self-willed which by itself indeed
ἐπαχθές ἐστι τοῖς πολλοῖς, τῷ δὲ φιλοτίμῳ προσὸν γίνεται
offensive is to-the many to-the and ambitious being-present becomes
παντάπασιν ἄγριον καὶ ἀπαραίτητον. οὐ γὰρ θεραπεύουσι
altogether savage and implacable not for they-court
τοὺς πολλοὺς ὡς μὴ δεόμενοι τιμῆς, εἶτα χαλεπαίνουσι μὴ
the many as not needing honor then are-harsh not
τυγχάνοντες. ἐπεὶ τό γε μὴ λιπαρῆ μηδὲ θεραπευτικὸν
obtaining-it since the at-least not importunate nor courting
ὄχλων εἶναι καὶ Μέτελλος εἶχε καὶ Ἀριστείδης καὶ
of-crowds to-be both Metellus had and Aristides and
Ἐπαμεινώνδας· ἀλλὰ τῷ καταφρονεῖν ἀληθῶς ὧν δῆμός
Epaminondas but by-the to-despise truly what the-people
ἐστι καὶ δοῦναι καὶ ἀφελέσθαι κύριος, ἐξοστρακιζόμενοι
is and to-give and to-take-away master being-ostracized
καὶ ἀποχειροτονούμενοι καὶ καταδικαζόμενοι πολλάκις οὐκ
and being-voted-out and being-condemned often not
ὠργίζοντο τοῖς πολίταις ἀγνωμονοῦσιν, ἀλλ᾽ ἠγάπων
they-were-angry with-the citizens being-ungrateful but were-content

αὖθις μεταμελομένους καὶ διηλλάττοντο παρακαλούντων.
again repenting and were-reconciled inviting-them
τὸν γὰρ ἥκιστα θεραπευτικὸν ἥκιστα πρέπει τιμωρητικὸν
the for least courting least fits revengeful
εἶναι τῶν πολλῶν, ὡς τὸ χαλεπαίνειν μάλιστα μὴ
to-be of-the many as the to-be-harsh most not
τυγχάνοντα τῆς τιμῆς ἐκ τοῦ σφόδρα γλίχεσθαι φυόμενον.
obtaining the honor from the vehemently to-crave springing
Ἀλκιβιάδης μὲν οὖν οὐκ ἠρνεῖτο τιμώμενος χαίρειν καὶ 5
Alcibiades indeed then not denied being-honored to-rejoice and
δυσφορεῖν παρορώμενος, ὅθεν ἐπειρᾶτο προσφιλὴς εἶναι
to-be-vexed being-overlooked whence he-tried agreeable to-be
τοῖς παροῦσι καὶ κεχαρισμένος· Μάρκιον δὲ θεραπεύειν μὲν
to-those present and charming Marcius but to-court indeed
οὐκ εἶα τοὺς τιμᾶν δυναμένους καὶ αὔξειν τὸ ὑπερήφανον,
not allowed those to-honor being-able and to-advance the arrogance
ὀργὴν δὲ καὶ λύπην ἀμελουμένῳ τὸ φιλότιμον παρεῖχε. καὶ
anger but and grief to-him-neglected the ambition caused and
ταῦτ᾽ ἔστιν ἃ τις ἂν αἰτιάσαιτο τοῦ ἀνδρός· τὰ δ᾽ ἄλλα
these-things are what anyone — might-blame of-the man the and other
πάντα λαμπρά. σωφροσύνης δὲ καὶ χρημάτων ἐγκρατείας
all-things splendid of-temperance but and of-money self-control
ἕνεκα τοῖς ἀρίστοις καὶ καθαρωτάτοις τῶν Ἑλλήνων ἄξιον
for to-the best and purest of-the Greeks worthy
αὐτὸν παραβάλλειν, οὐκ Ἀλκιβιάδῃ μὰ Δία τῷ θρασυτάτῳ
him to-compare not to-Alcibiades by Zeus the boldest
περὶ ταῦτα καὶ ὀλιγωροτάτῳ τοῦ καλοῦ γενομένῳ.
about these-things and most-careless of-the honorable having-been